# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΙΑΜΑΤΙΚΟΥ

# ΟΡΕΣΤΟΥ

ΤΟΥ ΕΚ ΤΥΑΝΩΝ ΤΗΣ ΚΑΠΠΑΔΟΚΙΑΣ

ΣΥΝΤΕΘΕΙΣΑ ΜΕΝ ΕΝ ΑΓΙΩ ΟΡΕΙ ΑΘΩ ΕΤΕΙ ΣΩΤΗΡΙΩ 1904

ΥΠΟ ΤΟΥ ΑΟΙΔΙΜΟΥ

ΠΡΟΗΓΟΥΜΕΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΑΥΡΙΩΤΟΥ, ΤΟΥ ΜΑΔΥΤΙΟΥ

ΜΕΓΑΛΟΥ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΤΗΣ Μ. ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΚΑΙ ΥΠΟ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΕΙΟΥ ΕΓΚΡΙΘΕΙΣΑ

ΝΥΝ ΠΡΩΤΟΝ Δ' ΕΚΔΙΔΟΜΕΝΗ

ΑΝΑΛΩΜΑΣΙΝ, ΕΠΙΣΤΑΣΙᾼ ΤΕ ΚΑΙ ΕΠΕΞΕΡΓΑΣΙᾼ

ΣΟΦΟΚΛΕΟΥΣ ΑΒΡ. ΧΟΥΔΑΒΕΡΔΟΓΛΟΥ ΘΕΟΔΟΤΟΥ, ΤΟΥ ΤΥΑΝΕΩΣ

ΙΣΟΒΙΟΥ ΕΠΙΤΙΜΟΥ ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΤΥΑΝΕΩΝ

ΠΡΟΕΔΡΟΥ ΤΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ΜΟΥΣΙΚΟΥ ΣΥΛΛΟΓΟΥ «ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ»

ΕΠΙΤΙΜΟΥ ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΑΝΩΤΑΤΟΥ ΙΤΑΛΙΚΟΥ ΣΤΕΝΟΓΡΑΦΙΚΟΥ ΙΝΣΤΙΤΟΥΤΟΥ

ΙΠΠΟΤΟΥ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ, ΤΟΥ ΒΑΣΙΛΙΚΟΥ ΤΑΓΜΑΤΟΣ ΤΟΥ ΣΩΤΗΡΟΣ ΚΛΠ.

ΜΕΤΑ ΠΡΟΛΕΓΟΜΕΝΩΝ ΚΑΙ ΣΗΜΕΙΩΣΕΩΝ ΤΟΥ ΕΚΔΟΤΟΥ

ΑΘΗΝΗΣΙΝ

,αϡλϛ'

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΓΡΗΓΟΡΗΣ ΠΑ...

Ἐξετυπώθη εἰς 150 ἀντίτυπα ἠριθμημένα 1—150

Ἀρ. 77

ΤΥΠΟΙΣ Ι. Λ. ΑΛΕΥΡΟΠΟΥΛΟΥ, ΑΓΗΣΙΛΑΟΥ 23, 23Α

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ




*Κλῦθι, Ὀρέστα, Θεοῖο ἀεθλοφόρων μέγα κῦδος,*
*ὅς γ' ἐρυσίπτολις εἶ Τυανέων ὁμίλῳ.*

*† Π. ΧΡΥΣΟΣΤΟΜΟΣ ΛΑΥΡΙΩΤΗΣ*

ΤΑΙΣ ΙΕΡΑΙΣ ΨΥΧΑΙΣ

ΤΩΝ ΣΕΒΑΣΤΩΝ ΚΑΙ ΠΑΜΦΙΛΤΑΤΩΝ

ΓΟΝΕΩΝ ΜΟΥ

ΑΒΡΑΑΜ-ΠΛΑΤΩΝΟϹ ΚΑΙ ΑΙΚΑΤΕΡΙΝΗϹ

ΚΑΙ ΠΡΟΣ ΜΗΤΡΟΣ ΜΑΜΜΗΣ ΜΟΥ

ΑΝΑϹΤΑϹΙΑϹ

ΙΕΡΟΝ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Σφραγὶς
Οἰκουμενικοῦ
Πατριαρχείου

† *Ὁ Πατριάρχης Κωνσταντινουπόλεως Ἰωακεὶμ* ἐπιβεβαιοῖ.

Ἀπόσπασμα
τοῦ κατὰ τὴν συνεδρίασιν τῆς 27 Μαΐου
1906, πρακτικοῦ τῆς Ἱερᾶς Συνόδου.

Ἀριθ. Πρωτ.
5052

Ἡ Ἱερὰ Σύνοδος λαβοῦσα ὑπ' ὄψιν τὴν ὑπ' ἀρ. πρ. 3332 καὶ χρονολογίαν 2 Μαΐου 1906 ἔκθεσιν τῆς Π. Κ. Ἐκκλησιαστικῆς Ἐπιτροπῆς περὶ τῆς ὑπὸ τὴν ἔγκρισιν αὐτῆς ὑποβληθείσης ἱερᾶς ἀκολουθίας τοῦ ἁγίου Μάρτυρος Ὀ ρ έ σ τ ο υ τοῦ ἐκ Τυάνων, διεξελθοῦσα δὲ καὶ τὰ ἐπισυνημμένα αὐτῇ ἔγγραφα, ἐνέκρινε τὴν ἐν λόγῳ ἱερὰν Ἀκολουθίαν μετὰ τῶν ἐπενεχθεισῶν ὑπὸ τῆς Ἐκκλησιαστικῆς Ἐπιτροπῆς τροποποιήσεων. Ἅμα δ' ἐνέκρινεν, ἵνα ἐκδοθῇ ἀπόσπασμα τοῦ παρόντος πρακτικοῦ, δεόντως κεκυρωμένον, διὰ τὰ περαιτέρω.

Ἐκ τοῦ Γραφείου τῆς Ἱερᾶς Συνόδου, τῇ 20 Ἰουλίου 1906

Ὁ Ἀρχιγραμματεὺς
† Ἀρχιμ. ΑΘΑΝΑΣΙΟΣ ΠΙΠΕΡΑΣ

Σφραγὶς
Γραφείου τῆς
Ἱερᾶς Συνόδου

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΠΡΟΛΕΓΟΜΕΝΑ

Ὁ διεξερχόμενος τὸ παρὰ τῇ Ἑλληνικῇ Ὀρθοδοξίᾳ ἐν ἰσχύι Κωνσταντινουπολιτικὸν Μηνολόγιον, ὡς τοῦτο εὕρηται τεθεσπισμένον ἰδίᾳ ἐν τοῖς ἐν χρήσει Μηναίοις, ἀντιλαμβάνεται, πλὴν ἄλλων κενῶν καὶ χασμάτων, ἰδιάζουσαν ἀταξίαν ἐν ταῖς εἰς μνήμην τῶν Ἁγίων ψαλλομέναις Ἀκολουθίαις. Καὶ οὐ μόνον, συνήθως, οἱ «τῇ αὐτῇ ἡμέρᾳ» μνημονευόμενοι, ἀλλὰ καὶ πλεῖστοι τῶν κυρίως καθ' ἡμέραν ἑορταζομένων Ἁγίων φέρονται στερούμενοι Ἀκολουθιῶν· ἄλλοι τοὐναντίον ἔχουσι διπλᾶς καὶ τριπλᾶς τοιαύτας· ἄλλων οἱ κανόνες εἶναι ἐλλειπεῖς, καὶ ποῦ μὲν ἐλλείπουσι, πλὴν δοξαστικῶν καὶ προσομοίων καὶ ἀπολυτικίων καὶ κοντακίων καὶ ἐξαποστειλαρίων, τροπάρια πρὸς συμπλήρωσιν τῆς ἀκροστιχίδος, ποῦ δ' εὑρίσκονται ἄλλα τοιαῦτα παρεντεθειμένα καὶ ἀλλοιοῦντα τὴν ἀκροστιχίδα. Τὴν ὅλην ταύτην ἀκαταστασίαν ἐξ ἄλλης αἰτίας ἐξήτασεν ἐν ἀρχῇ τῶν «Ἁγιολογικῶν» του (Ἐπ. Ἑτ. Βυζ. Σπ. Θ'. σελ. 81), ὁ πρ. Λεοντοπόλεως Σωφρόνιος, ἀλλ' εἶναι ἀποδοτέα καὶ εἰς τὸ ὅτι ὡς ἐπὶ τὸ πλεῖστον πρόκειται περὶ Ἁγίων τέως μὲν μόνον εἰς τὰς κατὰ τόπους Ἐκκλησίας τιμωμένων, εἰς δὲ τὸ Κωνσταντινουπολιτικὸν Ἁγιολόγιον ἢ Μηνολόγιον βραδύτερον συμπεριληφθέντων. Ἀλλ' ἡ ἐκ τοῦ Μηνολογίου τούτου ἔλλειψις Ἀκολουθίας τοῦ ἁγίου Ὀρέστου τοῦ Τυανέως, περὶ οὗ σημειοῖ ὁ τῶν Μηναίων ἐκδότης, ὡς καὶ περὶ ἄλλων, «Ἀκολουθία τοῦ Μάρτυρος οὐχ ὑπάρχει ὅλως ἐν τῷ χειρογράφῳ», οὐδόλως ἐξηγεῖται, δι' οὓς λόγους θὰ ἐκθέσωμεν.

Τυανεὺς τὴν πατρίδα, ἰατρὸς τὸ ἐπάγγελμα, Χριστιανὸς δ' ἐκ προγόνων, καὶ συμπατριώτης τοῦ Ἁγίου Γεωργίου τοῦ τροπαιοφόρου, ὁ Ἅγιος Ὀρέστης ἔζη καὶ ἤθλησεν, ὅπως καὶ ἐκεῖνος, ἐπὶ Διοκλητιανοῦ. Ὁπόταν οὗτος ἐκήρυξε τὸν μέγιστον κατὰ τῶν Χριστιανῶν διωγμὸν τῷ 303 μ.Χ. τὴν διεξαγωγὴν αὐτοῦ ἐν Ἀνατολῇ ἀνέθηκεν εἰς τὸν σκληρότατον Γαλέριον Οὐαλέριον Μαξιμῖνον, Καίσαρα τῆς Ἀνατολῆς, τὸν ἐπικληθέντα Δάιαν, συνεχίσαντα τὸν διωγμὸν καὶ μετὰ τὴν παραίτησιν τοῦ Διοκλητιανοῦ (305 μ. Χ.) μέχρι τοῦ ἔτους 318. Ὁ Μαξιμῖνος—ὃν οἱ βιογράφοι τοῦ Ὀρέστου καλοῦσι Μάξιμον—ἐλθὼν εἰς Τύανα συνέλαβεν ἐν πρώτοις τὸν Ὀρέστην, ὃν ὑπέβαλεν εἰς τὰ ἐν τῇ «Μεταφράσει τῆς ἀθλήσεως ἤτοι ὁμολογίας» αὐτοῦ ἐκτιθέμενα ἀνήκουστα βασανιστήρια. Ὅταν δ' ὁ Ὀρέστης, ὁδηγηθεὶς εἰς τὸ ἐν Τυάνοις διάσημον ἐν τῇ ἀρχαιότητι Ἱερὸν τοῦ Ἀσβαμαίου ἢ Ὁρκίου Διός, ἠρνήθη νὰ θύσῃ, διὰ δὲ τῆς προσευχῆς αὐτοῦ «καταρραγὲν ἅπαν τὸ οἴκημα κατεπόθη καὶ γέγονεν εἰς ἐρήμωσιν ἐξάπινα» [1]), ὁ Μαξιμῖνος προσέταξεν ὅπως ὁ μάρτυς συνδεθῇ ἐκ τῶν χειρῶν, ἁλύσεσι

---

1) Ὄντως! Ἐνῷ σῴζονται ἐν Τυάνοις σχεδὸν ἀσινὲς μὲν τὸ μέγα καὶ ἐπιβάλλον ὑδραγωγεῖον, ὕψους 8 μ. καὶ μήκους 2 χμ., κτίσμα Σωτῆρος καὶ Θεοδότου· στήλη τις δωρικοῦ ρυθμοῦ ὕψους 7 μ. 15· ἐπιγραφαί, ἀνάγλυφα καὶ ἄλλα ἐρείπια, τὴν θέσιν τοῦ Ἱεροῦ τούτου τοῦ Ἀσβαμαίου Διὸς μαρτυρεῖ μόνον ἡ ὑπὸ τοῦ Στράβωνος (ΙΒ' 537, 6. «ἐνταῦθά δ' ἐστι λάκκος ἁλμυροῦ ὕδατος, ἀξιολόγου λίμνης ἔχων περίμετρον... τὸ δ' ὕδωρ οὔτ' αὔξεσθαί φασιν οὔτ' ἀπόρρυσιν ἔχειν οὐδαμοῦ φανεράν»), τοῦ Φιλοστράτου (Α', 6, «ἔστι δέ τι περὶ Τύανα ὕδωρ Ὁρκίου Διός.., οὗ πηγὴ ἀναδίδοται ψυχρά, παφλάζει δέ, ὥσπερ ὁ θερμαινόμενος λέβης») καὶ Ἀμμιανοῦ Μαρκελλίνου (ΚΓ', 6) ἀναφερομένη λίμνη τοῦ Δακίου Διός· αὕτη ἔχουσα θεραπευτικὰς ἰδιότητας, καλεῖται ἐπιτοπίως Ἰτσμέ, ὁ δὲ περὶ αὐτὴν χῶρος Χορτασάν.

σιδηραῖς, τοῖς ποσὶν ἵππου ἀγρίου, ὅστις τυπτόμενος μάστιξιν ἔσυρε τὸν μάρτυρα μετὰ σφοδροτάτης ταχύτητος ἐπὶ μήκιστον ἀφεστηκὸς τόπου διάστημα, σταδίους σχεδὸν 180 (ἢ μίλια 24, περίπου 30 χμ.) ἀπὸ τῆς πόλεως τῶν Τυάνων μέχρι χώρου τινὸς ἐπιτοπίως καλουμένου Βάτου, ἔνθα καὶ παρέθετο τὸ πνεῦμα. Τὸ λείψανον τοῦ Ἁγίου ἐρρίφθη ἐν τῷ βυθῷ Φίβου (ἢ Βίφου, κατὰ Συμεῶνα τὸν Μεταφράστην) τοῦ παραρρέοντος ποταμοῦ, ἀνακομισθὲν δ' ἐκ τῶν ποταμίων ρευμάτων κατετέθη ἐν τῷ παρακειμένῳ ὄρει, «τῇ τῶν Τυανέων Μητροπόλει, ἐν ᾧ τόπῳ παμπληθεῖς ἰάσεις ἐπιτελοῦνται μέχρι τῆς σήμερον ἡμέρας». Ταῦτα κατὰ τὸν βιογράφον του, γράφοντα κατὰ τὸν ΙΒ' αἰῶνα.

Κατὰ τὸ Συναξάριον τοῦ Μηναίου, ὁ Ἅγιος Ὀρέστης ἤθλησε τῷ 289 μ. Χ. Καθ' ἡμᾶς ἡ χρονολογία αὕτη εἶναι ἐσφαλμένη, διότι ναὶ μὲν ὁ Διοκλητιανὸς ἦρξεν ἀπὸ τοῦ 284, ἀλλ' ὁ διωγμός του ἤρχισε μόλις τῷ 303. Ἐπειδὴ δέ, κατὰ Συμεῶνα τὸν Μεταφράστην (Migne **116**, 119—128), ὁ Μαξιμῖνος ἀπέστειλε τὰ ὑπομνήματα (ἤτοι τὰ ὑπὸ Τυανέων στενογράφων—ὅρα σελ. 8—τηρηθέντα πρακτικὰ τοῦ μαρτυρίου) τοῦ Ἁγίου εἰς Ἀντιόχειαν πρὸς Διοκλητιανὸν τὸν βασιλέα, ὅστις, ὡς εἴπομεν, παρῃτήθη τῷ 305, πρέπει νὰ ὁρίσωμεν τὴν ἄθλησιν τοῦ Ἁγίου, τελειωθέντος τῇ Ι' μηνὸς Νοεμβρίου, εἰς τὸ σωτήριον ἔτος 304.

Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ τῆς εὐσεβείας διαλαμψάσης διὰ τοῦ ἐν Μεδιολάνοις τῷ 318 ἐκδοθέντος διατάγματος Κωνσταντίνου τοῦ ἀοιδίμου μεγάλου βασιλέως καὶ ἰσαποστόλου, οἱ τῆς εὐσεβείας καὶ τοῦ μάρτυρος Ὀρέστου ἐρασταὶ Τυανεῖς ἀνήγειραν ναὸν τῷ Ἁγίῳ χαριέστατον ἅμα καὶ κάλλιστον, ἐν ᾧ καὶ κατέθεσαν τὸ πολύαθλον καὶ ἅγιον σῶμα αὐτοῦ, ἀεννάως κρουνοὺς θαυμάτων παρέχοντος τοῖς πιστῶς προσιοῦσιν αὐτῷ.

Ἡ φήμη τῶν ὑπερφυῶν καὶ ἐξαισίων θαυμάτων τούτων καὶ τῶν ἰάσεων διεδόθη τάχιστα μέχρι Κωνσταντινουπόλεως· συνοδεῖαι ὅλαι προσκυνητῶν ἐπορεύοντο τὴν μέχρι Τυάνων μακρὰν ὁδὸν ὅπως ἐπικαλεσθῶσι τὴν χάριν τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ καὶ ἰαματικοῦ Ὀρέστου τοῦ Τυανέως. Καὶ περὶ τὸν ναόν, ἐν ᾧ εἶχον ἀποθησαυρίσει τὸ λείψανον τοῦ Ἁγίου, ἀνηγέρθη μέγα Μοναστήριον, ἔνθα εὕρισκον κατάλυμα οἱ προσκυνηταί, παντοίας δωρεὰς καὶ προσφορὰς ἀφιεροῦντες τῷ Ἁγίῳ τῷ παρασχόντι αὐτοῖς τὴν ἴασιν τῶν χαλεπῶν αὐτῶν νοσημάτων. Τὸ Μοναστήριον τοῦ Ἁγίου Ὀρέστου δὲν ἐβράδυνε νὰ καταστῇ διάσημον καὶ περίβλεπτον [2]), ἀλλὰ καὶ πλουσιώτατον, ὡς ἐκ τούτου γενόμενον ἀφορμὴ περιέργου ἐκκλησιαστικῆς διενέξεως.

Ὁ ἀρειανὸς αὐτοκράτωρ Οὐάλης, μηνύων κατὰ τοῦ προμάχου τῆς Ὀρθοδοξίας ἐπισκόπου Καισαρείας Καππαδοκίας Βασιλείου τοῦ Μεγάλου, διῄρεσε πολιτικῶς τὴν Ἐπαρχίαν Καππαδοκίας εἰς Καππαδοκίαν Πρώτην, μὲ πρωτεύουσαν τὴν Καισάρειαν, καὶ Καππαδοκίαν Δευτέραν, μὲ πρωτεύουσαν τὰ Τύανα, ἀποσπάσας καὶ

2) Ἡ θέσις αὐτοῦ φαίνεται οὖσα μεταξὺ τῶν ἐρειπίων, τῶν λεγομένων «Μοναστήρια» καὶ κειμένων ἐν ταῖς ὑπωρείαις τοῦ ἐν τῇ Γαρσαυρίτιδι κλάδου τοῦ Ταύρου, τοῦ ἀρχικῶς μὲν ὀνομαζομένου ἐπιτοπίως «Χατούν-δαγῆ» (ὄρους τῆς Παρθένου), βαθμηδὸν δὲ παραφθαρέντος εἰς «Χασὰν-δαγῆ». (Κατὰ τὸν ἀείμνηστον φίλον Ἀρχιμ. Ἰωάννην Παντελεημονίδην, τὸν ἐκ Καρβάλης, Προϊστάμενον Ἰκονίου).



ἐκκλησιαστικῶς τὴν ἐπισκοπὴν Τυάνων ἀπὸ τοῦ θρόνου Καισαρείας, καὶ προαγαγὼν ταύτην, κατὰ Μάρτιον τοῦ 372, εἰς ἀνεξάρτητον Μητρόπολιν, ΙΔ' ἐν τῇ τάξει τῶν ὑπὸ τὸν Κωνσταντινουπόλεως Μητροπόλεων, ἔχουσαν δ' ὑπὸ τὴν δικαιοδοσίαν αὐτῆς τρεῖς ἐπισκοπάς, τῶν Κυβίστρων, τῆς Φαυστινουπόλεως καὶ τῶν Σασίμων. Ὁ Μητροπολίτης Τυάνων ἔλαβε τὴν φήμην «ἐξάρχου Δευτέρας Καππαδοκίας» [3]), πρῶτος δὲ τοιοῦτος ἐγένετο ὁ Ἄνθιμος, διάδοχος τοῦ εἰς τὴν Α' ἐν Νικαίᾳ Οἰκουμενικὴν Σύνοδον παραστάντος Εὐψυχίου. Ἐν τούτοις, καὶ μετὰ τὴν εἰς Μητρόπολιν ἀνάδειξιν τῆς Ἐπισκοπῆς Τυάνων, αἱ πρόσοδοι τοῦ Μοναστηρίου τοῦ ἁγίου Ὀρέστου καὶ αἱ ἐν γένει «Ταυρικαὶ» λεγόμεναι, καίτοι προερχόμεναι καὶ διερχόμεναι ἐκ Τυάνων, ἐξηκολούθουν κομιζόμεναι εἰς Καισάρειαν. Ὁ Ἄνθιμος μὴ ἀνεχόμενος τοῦτο τὰς διήρπαζε, μέχρις οὗ τῇ μεσιτείᾳ Γρηγορίου τοῦ Θεολόγου, ὃν Βασίλειος ὁ Μέγας εἶχε καταστήσει ἐπίσκοπον Σασίμων ἀκριβῶς ὅπως περισώζῃ τὰς προσόδους τοῦ Μοναστηρίου τοῦ ἁγίου Ὀρέστου, κατεπαύθη ἡ πρὸς τὸν Τυάνων Ἄνθιμον διαφορά.

Ὀλίγῳ πρότερον, ἐπὶ Οὐαλεντινιανοῦ Α', εἶχε συνέλθει ἐν Τυάνοις, τῷ 366, Σύνοδος πρὸς βεβαίωσιν τῆς πίστεως τῶν συνεληλυθότων εἰς τὴν Α' ἐν Νικαίᾳ Οἰκουμενικὴν Σύνοδον. Τῆς ἐν Τυάνοις ταύτης Συνόδου προέστη ὁ Καισαρείας Καππαδοκίας Εὐσέβιος (προκάτοχος Βασιλείου τοῦ Μεγάλου), παρέστησαν δ' ἐν αὐτῇ Γρηγόριος ὁ Ναζιανζοῦ (πατὴρ Γρηγορίου τοῦ Θεολόγου), Ἀθανάσιος ὁ Ἀγκύρας, Πελάγιος ὁ Λαοδικείας, Ζήνων ὁ Ταρσοῦ, Παῦλος ὁ Ἐμέσης, Ὀτρήιος ὁ Μελιτινῆς, Εὐστάθιος ὁ Σεβαστείας, καὶ πολλοὶ ἄλλοι ἐπίσκοποι.

Ἡ Ἐκκλησία τιμῶσα τὴν πόλιν τῆς Συνόδου καὶ πατρίδα τοῦ τε Ἁγίου Ὀρέστου καὶ τῶν ἄλλων Τυανέων Ἁγίων, Λογγίνου τοῦ Ἑκατοντάρχου, τοῦ ἐπὶ τοῦ σωτηρίου Πάθους τὴν Θεότητα τοῦ Κυρίου διὰ τοῦ περιβοήτου ἐκείνου «Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος!» ὁμολογήσαντος, χρηματίσαντος δὲ πρώτου Ἐπισκόπου τῆς ἐν Καππαδοκίᾳ Ἐκκλησίας καί, προστάγματι τοῦ Τιβερίου Καίσαρος, τὴν ἱερὰν κάραν ἀποτμηθέντος (μνήμη αὐτοῦ τῇ 16ῃ Ὀκτωβρίου)· Ἀγαθοδώρου (2ᾳ Φεβρουαρίου) καὶ Οὐάρου (19ῃ Ὀκτωβρίου), ὅστις, εὑρισκόμενος μὲ τὸ τάγμα τῶν Τυάνων ἐν Ἀλεξανδρείᾳ, ἤθλησεν ἐπὶ Μαξιμιανοῦ Καίσαρος τῷ 304 μ. Χ., τὴν μὲν Δευτέραν Καππαδοκίαν ἐπωνόμασε καὶ Τυανίτιδα, τὰ δὲ Τύανα Χριστούπολιν, ὡς κατ' ἐξοχὴν πόλιν τοῦ Χριστοῦ, καθὸ ἄλλως τε διὰ τοῦ κηρύγματος τοῦ Ἀποστόλου Παύλου τέλεον ἐκχριστιανισθεῖσαν, ἀφοῦ, ὡς εἴδομεν, καὶ ὁ Ἅγιος Ὀρέστης ἐκαυχᾶτο ὢν ἀπὸ

3) Ἡ πολυπαθὴς Μητρόπολις Τυάνων—εἶναι γνωστὴ σειρὰ ὁλόκληρος ἐπισκόπων Τυάνων, ὧν ἄριστος ἦν ὁ φίλτατος Γρηγορίου τοῦ Θεολόγου, ὁ Τυάνων Θεόδωρος—μετὰ τὴν κατάληψιν τῆς πόλεως ὑπὸ τῶν Σαρακηνῶν ἐπὶ Ἰουστινιανοῦ Β' τῷ 708 καὶ τὴν μετὰ τὴν ὑπὸ τῶν Βυζαντινῶν ἀνάκτησίν της, τελειωτικὴν πτῶσίν της τῷ 842, ὁπότε ὁ Χαλίφης Ἀλ-Μοτασὲμ ἀνέσκαψε τὰ τείχη της, ἐξηκολούθει ἐν τούτοις ὑφισταμένη μέχρι τοῦ 1365, ὁπότε ἐδόθη τῷ Καισαρείας· καὶ ἐξελέγη μὲν τῷ 1369 νέος Μητροπολίτης Τυάνων, ἀλλ' ἤδη πλέον, τὸν Νοέμβριον τοῦ 1370, ἐδόθη πάλιν, κατὰ λόγον ἐπιδόσεως, τῷ Καισαρείας, ἡ προσωρινὴ ἐπίσκεψις τῆς Μητροπόλεως Τυάνων, ἐὰν συνέβαινε νὰ χηρεύσῃ ἀρχιερέως. Εἶτα, συγχωνευθεῖσα μετὰ τῆς Μητροπόλεως Ἰκονίου, ἀπεσπάσθη ἀπ' αὐτῆς τῷ 1655 καὶ ἐδόθη τῷ Πισιδείας, ἀλλὰ καὶ πάλιν τελειωτικῶς τῷ Ἰκονίου, φέροντι ἔκτοτε τὴν φήμην «Ἰκονίου καὶ Τυάνων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυκαονίας καὶ Δευτέρας Καππαδοκίας». Ἕως οὗ διὰ τοῦ μαρτυρικοῦ θανάτου τοῦ τελευταίου Μητροπολίτου Ἰκονίου καὶ Τυάνων κυροῦ Προκοπίου Λαζαρίδου, τοῦ Τυανέως, σφαγιασθέντος τῷ 1920, καὶ τῆς τῇ 3ῃ Σεπτεμβρίου 1924 ἐπελθούσης ἐκριζώσεως τῶν Τυανέων ἀπὸ τῆς γῆς ἣν κατῴκουν ἀπὸ 20 αἰώνων καὶ πλέον, καὶ ἡ Μητρόπολις Τυάνων ἀπέθανε...

προγόνων Χριστιανός. Καὶ ἡ Μητρόπολις Τυάνων ἐγνωρίζετο ἔκτοτε καὶ ὡς «Χριστουπόλεως» [4]).

Οἱ δ' ἐκ Κωνσταντινουπόλεως εἰς τὸ Μοναστήριον τοῦ Ἁγίου Ὀρέστου τοῦ Τυανέως μεταβάντες εὐλαβεῖς προσκυνηταί, γεραίροντες τὴν μνήμην αὐτοῦ, ἀνήγειραν μεγαλοπρεπῆ ναὸν ἐπ' ὀνόματι αὐτοῦ ἐν τῷ κέντρῳ τῆς Βασιλευούσης, πλησίον τοῦ Λεωμακελλίου [5]), ἐν ᾧ σύναξις τοῦ Ἁγίου ἐτελεῖτο τῇ 10ῃ Νοεμβρίου. Ἀλλὰ πρὸς τούτοις καὶ μαρτυρεῖον ἢ παρεκκλήσιον, ἐπίσης ἐπ' ὀνόματι τοῦ ἁγίου Ὀρέστου, ἐν τῷ ναῷ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου, τῷ ὄντι πλησίον τῆς ἁγίας Σοφίας (κατὰ τὸν τύπον ἴσως τῶν παρεκκλησίων τῆς Μονῆς Δαφνίου), ἐν ᾧ ὅμως ἡ σύναξίς του ἐτε-

4) Τὰ Τύανα ὑπῆρξαν διάσημα καὶ κατὰ τὴν προχριστιανικὴν ἀρχαιότητα. Κτίσμα τῆς Σεμιράμιδος τὸν ΚΒ' αἰῶνα π. Χ., ἢ τοῦ Θόαντος βασιλέως τῆς Ταυρικῆς, ἢ μᾶλλον τῶν Χεττιτῶν, ὑπῆρξαν πατρὶς Ἀπολλωνίου τοῦ Τυανέως (+97 μ. Χ.), Ἀπολλωνίου φιλοσόφου τοῦ νεωτέρου, Φίλωνος τοῦ γεωμέτρου, τοῦ Χρυσίππου, εἶτα δὲ καὶ τοῦ Αὐτοκράτορος Ρωμανοῦ τοῦ Διογένους. Γνωστὰ καὶ ἀπὸ τὴν διάβασιν τῶν Μυρίων τοῦ Ξενοφῶντος (401 π. Χ.), ὅστις ἀποκαλεῖ αὐτὰ «πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα», τοῦ Μεγάλου Ἀλεξάνδρου (333 π. Χ.) καὶ τοῦ Κικέρωνος (53 π.Χ.)· ἀπὸ τὴν ἐκστρατείαν τοῦ αὐτοκράτορος τῆς Ρώμης Αὐρηλιανοῦ κατὰ τῆς βασιλίσσης Ζηνοβίας τῆς Παλμύρας (271 π.Χ.) καὶ ἀπὸ τὸν αὐτόθι θάνατον τοῦ αὐτοκράτορος τῆς Ρώμης Τακίτου (9 Ἀπριλίου 276 μ.Χ.). «Π ό λ ι ς Ἑ λ λ ά ς», κατὰ τὸν Φιλόστρατον, ἅτε συνοικισθεῖσα ὑπὸ Ἑλλήνων τῷ 174 π. Χ. ἐπὶ βασιλέως τῆς Καππαδοκίας Ἀριαράθους Ε', τοῦ Εὐσεβοῦς, ὠνομάσθη «Εὐσέβεια ἡ πρὸς τῷ Ταύρῳ», ὑπῆρξε δὲ δημοκρατία αὐτόνομος καὶ ἐπὶ Ρωμαίων ἔτι, ὁπότε ἔλαβε τὸν τίτλον «Κολωνία Ἀντωνίνα», κόψασα ἴδια νομίσματα. Εἰς τὰ Κρίταλλα, τὴν πεδιάδα τῶν Τυάνων, συνήθροισεν ὁ Ξέρξης τὸ μέγα πεζικόν του προτοῦ ἐκστρατεύσῃ κατὰ τῆς Ἑλλάδος. Διὰ Τυάνων διήρχοντο αἱ μεγάλαι ἐμπορικαὶ καὶ στρατιωτικαὶ ὁδοὶ ἀπὸ Κωνσταντινουπόλεως καὶ τῶν Δ. παραλίων τῆς Μικρᾶς Ἀσίας μέχρι Βαβυλωνίας καὶ Σούσων καὶ ἐντεῦθεν μέχρις Ἰνδιῶν. Ἐν τῷ σταδίῳ τῆς πόλεως ἐτελοῦντο μεγαλοπρεπεῖς ἀγῶνες εἰς τιμὴν Ἑρμοῦ καὶ Ἡρακλέους· περιώνυμα δ' ἦσαν τὰ πρῴην μὲν ἱερατικά, ἐπὶ δὲ βυζαντινῶν αὐτοκρατορικὰ «Παλματιανὰ» ἱπποφορβεῖα τῶν Τυάνων, ἐν οἷς ἐξετρέφοντο οἱ «κλυτοὶ» καὶ εὐγενοῦς γενεᾶς δρόμωνες κέλητες ἱπποδρομιῶν τε καὶ στρατιωτικοί. Ἐν Τυάνοις δ' ἤκμαζε καὶ διαπρεπὴς στενογραφικὴ Σχολή, εἰς ἣν καὶ οἱ ἀνεψιοὶ Γρηγορίου τοῦ Θεολόγου «ἥκασι ταχυγραφεῖν μαθησόμενοι», πρὸ τῆς φοιτήσεώς των εἰς τὰ ἐν Ἀθήναις διδακτήρια. Ταύτης μαθηταὶ ὑπῆρξαν καὶ οἱ στενογράφοι του Ἐλάφιος καὶ Θεοδόσιος, ἐπίσης ὁ μετὰ τῶν τριδύμων Καππαδόκων ἱπποδάμων καὶ ἱππηλατῶν ἁγίων Σπευσίππου, Ἐλασίππου καὶ Βελεσίππου καὶ τῆς μάμμης αὐτῶν Νεονίλλης, συναθλήσας ἅγιος Τούρβων ὁ στενογράφος (16 Ἰανουαρίου), καθὼς καὶ ὁ εἰς τὴν ἐν Χαλκηδόνι Δ' Οἰκουμενικὴν Σύνοδον (451 μ. Χ.) μετὰ τοῦ ἐπισκόπου Τυάνων Πατρικίου συμπαραστὰς διάκονος καὶ στενογράφος του Παλλάδιος. Ἐν τῇ σχολῇ ταύτῃ ἐδιδάσκοντο τὰ «Εὐνομίου σημεῖα», ἤτοι τὸ στενογραφικὸν σύστημα τοῦ (ἀρειανοῦ) Εὐνομίου, οὗ θανόντος ὁ νεκρὸς ἐπὶ τούτῳ μετεκομίσθη καὶ ἐτάφη ἐν Τυάνοις. Τῷ 964 μ. Χ. Νικηφόρος Β' ὁ Φωκᾶς ἐξήλασε τοὺς ἐν Καππαδοκίᾳ καὶ Τυάνοις Σαρακηνοὺς πρὸς τὴν Κιλικίαν καὶ Ἀντιόχειαν, ὁπότε ἡ σύζυγός του Αὐγοῦστα Θεοφανὼ διέμενε μετὰ τῶν βασιλοπαίδων εἰς τὸ ἐξοχικὸν προάστειον τῶν Τυάνων, τὸ Δρίζιον (ἸφτυάνΚασς, Ἐμέν). Οἱ Κομνηνοὶ τοῦ Βυζαντίου ἐκ Τυάνων προσέλαβον τὸν δικέφαλον ἀετὸν (Χάγκα) καὶ καθιέρωσαν ὡς βασιλικὸν ἔμβλημα. Ποῖον δὲ στρατηγὸν ἢ βασιλέα ὑπονοεῖ ὁ Σουΐδας «καθήμενον περὶ τὰ Τύανα, κατηργηκέναι καὶ καταπροΐεσθαι τοὺς καιρούς», ἄδηλον. Οὐ μακρὰν τῶν Τυάνων σῴζονται αἱ ἰαματικαὶ θέρμαι τῶν Ξανξήρων σήμερον «Χουμμὰμ» καὶ τὰ ἐρείπια τοῦ φρουρίου Λούλου, ἀκραίου σταθμοῦ τοῦ ἀπὸ Κωνσταντινουπόλεως εἰς Ταρσὸν ὀπτικοῦ τηλεγράφου. (Τὰς περὶ Τυάνων ἱστορικὰς εἰδήσεις, προϊὸν πολυετῶν ἐρευνῶν μου, ἃς συνέλεξα ἐνδελεχῶς ἐν ἀνεκδότῳ μονογραφίᾳ μου, ἔδωκα εὐχαρίστως, ζητηθείσας, εἰς φίλον συνεργάτην Ἐγκυκλοπαιδειῶν καὶ ἐδημοσίευσε ταύτας—καὶ ἄλλας ἐργασίας μου—ἐστρεβλωμένας καὶ ἄνευ μνείας τῆς πηγῆς ἐξ ἧς τὰς ἔλαβεν, ὅπως ἔπραξαν καὶ δύο ἄλλοι ἐν Ἀθήναις λόγιοι, ὧν ὁ ἕτερος ἀκαδημαϊκός! Ὅρα ἀντιγραφὰς ἀπὸ Ἐπ. Ἑτ. Βυζ. Σπ. Α', σελ. 351, Σημ. 1, εἰς Ἑστίαν 3 Φεβρ. 1923· ἀπὸ Μούσας Ζακύνθου 6 Νοεμ. 1929 εἰς Φάρον Ἀλεξανδρείας ΚΗ', σελ. 548—551· ἀπὸ Messager d'Athènes 19 Νοεμ. 1929 εἰς Μεγ. Ἑλλ. Ἐγκυκλοπ. ΙΒ', σελ. 274, στήλας 2 καὶ 3. Πρβλ. καὶ «Κτενᾶ Ἀθωνιάδα», σελ. 104, Σημ. καὶ «Νέαν Ἑστίαν» 1929 σελ. 516—518, 998—1000, 1930 σελ. 638—640. «Ἐπιφυλλίδας» Ἐλευθερουδάκη, Β', Τεῦχος Δ' σελ. 51—54 κλπ).

5) Λεωμακέλλιον ἢ Διμακέλλιον ἢ Δημοκέλλιον κατὰ μὲν τὸν Mordtmann (Esquisse Topographique de Constantinople, σ. 62) εἶναι τὸ Ἐτ-Μεϊδάν, κατὰ δὲ Σκαρλᾶτον τὸν Βυζάντιον (Κωνσταντινούπολις, Α', σελ. 439), τὸ Μπὶτ-Παζάρ.



λεῖτο τῇ 9ῃ Ἰουλίου [6]). Ὁ διπλοῦς ἑορτασμὸς τοῦ ἁγίου Ὀρέστου οὐδὲν τὸ περίεργον ἐνέχει. Οἱ Βυζαντινοὶ ἡμῶν πατέρες ἠδιαφόρουν τελείως περὶ τὰ ἐπουσιώδη ἡμερολογιακὰ ζητήματα. Ἑξάκις τοῦ ἔτους ἑώρταζον τὸν Ἅγιον Μόδεστον (18 Ἰανουαρίου, 29 Μαρτίου, Παρασκευῇ πρὸ τῶν Βαΐων, 19 Ὀκτωβρίου, καὶ ποῦ μὲν τῇ 16 Δεκεμβρίου, ποῦ δὲ τῇ 17 Δεκεμβρίου)· τρὶς τοῦ ἔτους τοὺς Ἁγίους Ἑπτὰ Παῖδας τοὺς ἐν Ἐφέσῳ (4 Αὐγούστου, 1 Σεπτεμβρίου καὶ 22 Ὀκτωβρίου)· δὶς τοῦ ἔτους τὸν Στέφανον Σαββαΐτην· δίς, ἐν τῷ αὐτῷ ναῷ, ὡς ἡ σημ. 6, τὸν ἅγιον Φωκᾶν καὶ τὸν ἅγιον Τρύφωνα κ. ὁ. κ· Ὁ δ' ἅγιος Ὀρέστης, κατὰ μὲν τὸν Παρισινὸν Κώδικα 1589 τοῦ ΙΒ' αἰῶνος· τὸν Βατικανὸν 1613 τοῦ ΙΑ' αἰῶνος καὶ τὸν ἐν Ὀξωνίῳ τῆς Βοδλεϊανῆς Βιβλιοθήκης Τ. ΙΙΙ. 16, τοῦ 1307 μ. Χ., ἑωρτάζετο τῇ 9ῃ Νοεμβρίου, κατὰ τὸν Ἀμβροσιανὸν Κώδικα Β 133 τοῦ ΙΒ' αἰῶνος, καὶ τὸν τῆς Ἐθνικῆς Βιβλιοθήκης Παρισίων 1594 τοῦ ΙΒ' αἰῶνος, τῇ 10ῃ Νοεμβρίου, κατὰ δὲ τὸν ῥηθέντα τοῦ Ὀξωνίου κ α ὶ τῇ 9ῃ Ἰουλίου. Ἐπειδὴ δὲ κατὰ τὸν ἐν λόγῳ Ἀμβροσιανὸν Κώδικα, ἡ μνήμη τῶν ἁγίων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου ἐτελεῖτο τῇ 10ῃ Νοεμβρίου—ἀντὶ τῆς 11ης Νοεμβρίου, ὡς εὕρηται νῦν τεθεσπισμένη—ἄρα ὁμοῦ μὲ τὴν τοῦ ἁγίου Ὀρέστου, εἰκάζω ὅτι τούτου ἕνεκεν ἔκτοτε καὶ ὁ ἅγιος Μηνᾶς θεωρεῖται πολιοῦχος τῶν Τυάνων.

Συναξάρια σύντομα τοῦ ἁγίου Ὀρέστου γνωστά μοι ὑπάρχουν τὰ ἑξῆς.

Α' τοῦ Μεδικο-Λαυρεντιανοῦ Κώδικος τοῦ ἁγίου Μάρκου 787, τοῦ 1050 μ. Χ. γραφέντος ἐν Παλαιστίνῃ ὑπὸ Σάββα μοναχοῦ τῆς μονῆς τῆς ὑπεραγίας Θεοτόκου τοῦ Καλαμίου·

«Νοεμβρίου Ι'. Ὀ ρ έ σ τ ο υ τοῦ ἐν τῇ Βάτῳ. Ὃς ἤθλησεν ἐπὶ τῆς βασι-
« λείας Διοκλητιανοῦ καὶ Μαξίμου ἄρχοντος Καππαδοκίας. Οὗτος ὁ ἅγιος Καππαδό-
« κης ὢν τὸ γένος, τὴν πίστιν χριστιανός, τὴν ἐπιστήμην ἰατρός, παραστὰς Μαξίμῳ τῷ
« ἄρχοντι ῥάβδοις τύπτεται σφοδρῶς κατὰ τοῦ νώτου καὶ τῆς γαστρός, εἶτα ὀβελίσκοις
« πεπυρακτωμένοις τὸν νῶτον κατακαίεται καὶ ἅλμῃ σὺν ὄξει δριμυτάτῳ τὰς πληγὰς ἀνα-
« τρίβεται. Ἔπειτα βίᾳ ἀχθεὶς ἐν τῷ ναῷ ὡς προσκυνήσων, διὰ μόνης προσευχῆς κα-
« ταβάλλει τὰ εἴδωλα. Διὸ καὶ λιμῷ παραδίδοται ἡμέρας ἑπτά· μετὰ ταῦτα ἑλκυσθεὶς
« ἥλοις τοὺς πόδας καὶ τὰς πλευρὰς διαπερονᾶται καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς ἐλαύνε-
« ται μίλια κδ' κατὰ πετρῶν καὶ δυσβάτων τόπων, καὶ καταφθαρεὶς τὰ μέλη, καὶ τὰ
« ὀστᾶ καταθραυσθεὶς τὸ πνεῦμα τῷ Θεῷ παρέδωκεν. Τὸ δὲ περίλοιπον αὐτοῦ σῶμα
« τῷ ποταμῷ ἐναπερρίφη».

Β' τοῦ Βερολινείου Κώδικος 219, τοῦ ΙΒ'—ΙΓ' αἰῶνος, γραφέντος ὑπὸ Δημητρίου Ἁμαρτωλοῦ μοναχοῦ τῆς ἐν Λυκαονίᾳ μονῆς Βαθέος Ρύακος·

6) Ὁ ναὸς οὗτος τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, ὁ ἐν τῷ Μιλίῳ (Διππείῳ), κατὰ τὴν Κωνσταντινιάδα δὲ μέσον Ἱπποδρόμου καὶ Αὐγουσταίου κείμενος, καλούμενος δὲ καὶ «τοῦ Εὐαγγελιστοῦ εἰς τὸ Ὡρολογεῖον», ἦτο ἵδρυμα τοῦ τυράννου Φωκᾶ (602—610 μ. Χ.), τὰ δὲ ἐγκαίνια αὐτοῦ ἑωρτάζοντο τῇ 2ᾳ Αὐγούστου. Ἐν αὐτῷ, πλὴν τοῦ παρεκκλησίου τοῦ ἁγίου Ὀρέστου, ὑπῆρχον τοιαῦτα καὶ τοῦ ἁγίου Φωκᾶ (ἑορταζομένου ἐν αὐτῷ τῇ 22 Σεπτεμβρίου καὶ 22 Ἰουλίου), Τρύφωνος (19 Ὀκτωβρίου καὶ 1 Φεβρουαρίου), Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου (12 Δεκεμβρίου), Ἀντύπα ἐπισκόπου Περγάμου (11 Ἀπριλίου) καὶ Ἰωάννου στρατιώτου (30 Ἰουλίου). Ὁ τὸ παρεκκλήσιον τοῦ Ἁγίου Ὀρέστου περιλαμβάνων ναὸς οὗτος ἐσῴζετο μέχρι τοῦ 1809, ὁπότε ἐκρημνίσθη ἐκ θεμελίων.

«Ἰουλίου Θ΄. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου. Οὗτος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Τυάνων τῆς Καππαδοκῶν ἐπαρχίας, τὴν ἰατρικὴν τέχνην μετιών. Προσαχθεὶς δὲ Μαξίμῳ τῷ ἡγεμόνι καὶ ὁμολογήσας τὴν εἰς Χριστὸν πίστιν, ῥαβδίζεται ἐπὶ τοσοῦτον, ὥστε ἀνακαλυφθῆναι τὰ σπλάγχνα αὐτοῦ. Καὶ εἰσελθὼν ἐν τῷ ναῷ τῶν εἰδώλων καὶ τὴν ἐν Χριστῷ σφραγῖδα ποιήσας, κατέβαλε τὰ ἐν αὐτῷ εἴδωλα, ἃ καὶ πεσόντα εἰς χοῦν διελύθησαν. Εἶτα εἰς φυλακὴν βάλλεται καὶ μεθ' ἡμέρας ὀκτὼ ἐξαχθεὶς καθηλοῦται ἥλοις τὰς πτέρνας καὶ πρὸς τούτους δεσμεῖται ἁλύσει τὰς χεῖρας καὶ ἐπὶ μιλίοις εἴκοσι καὶ τέσσαρσι σύρεται ὑφ' ἵππου, ἐν ᾧ τὸ τῆς ἁλύσεως ἔδησαν ἄκρον, καὶ συρόμενος ἀπέδωκε τὴν ψυχήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ Ἀποστολείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς Μεγάλης Ἐκκλησίας. (Ἱστέον ὅτι ὁ ἅγιος Ὀρέστης ἐν τῇ Βάτῳ καὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ παρὰ πολλῶν μνημονεύεται καὶ Νοεμβρίου Θ΄. Προσθήκη τοῦ ἐν Ὀξωνίῳ κώδικος Τ. III. 16)».

Γ΄ τοῦ αὐτοῦ Βερολινείου Κώδικος 219·

«Νοεμβρίου Ι΄. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ὀρέστου τοῦ ἐν τῇ Βάτῳ. Οὗτος ὑπῆρχεν ἐκ τῆς πόλεως Τυάνων (χώρας Καππαδοκίας. Προσθήκη τοῦ κώδικος τῆς Ἐθνικῆς Βιβλιοθήκης Παρισίων 1594), ἤθλησεν δὲ ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξίμου ἄρχοντος Καππαδοκίας. Διὰ γοῦν τὴν εἰς Χριστὸν πίστιν παραστὰς τῷ ἄρχοντι, ῥάβδοις τύπτεται κατὰ τοῦ νώτου καὶ τῆς γαστρός, καὶ ὀβελίσκοις πεπυρωμένοις τὰ νῶτα διακαίεται καὶ ἅλμῃ σὺν ὄξει τὰς πληγὰς ἀνατρίβεται, καὶ ἐν τῷ ναῷ ἀχθεὶς εὐχῇ μόνῃ καταβάλλει τὰ εἴδωλα καὶ ἑπταημέρῳ λιμῷ παραδίδοται καὶ ἥλοις τοὺς πόδας καὶ τὰς πλευρὰς διαπείρεται, καὶ ἵππῳ ἀγρίῳ προσδεθεὶς ἐλαύνεται μίλια κδ΄ κατὰ πετρῶν καὶ δυσβάτων τόπων, καὶ καταφθαρεὶς τὰ μέλη, καὶ τὰ ὀστᾶ συντριβείς, τὸ πνεῦμα τῷ Κυρίῳ ἀπέδωκε· τὸ δὲ περίλοιπον αὐτοῦ σῶμα τῷ ποταμῷ ἐναπερρίφη. (Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Λεωμακελλίου. Προσθήκη τοῦ Κώδικος τῆς Ἐθνικῆς Βιβλιοθήκης Παρισίων 1594)».

Ἐκτενεῖς δὲ βιογραφίαι αἱ ἑξῆς.

Δ΄ Συμεὼν τοῦ Μεταφράστου, τοῦ ΙΑ΄ αἰῶνος (Migne T. **115**, στῆλαι 119—128), ἧς ἡ ἀρχή· «Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ Ὀρέστου. Α΄. Βασιλεύοντος Διοκλητιανοῦ τοῦ ἀσεβεστάτου καὶ παρανόμου ἐγένετο διωγμὸς μέγας τῶν Χριστιανῶν καθ' ὅλης τῆς οἰκουμένης...» καὶ τὸ τέλος «Ταῦτα δὲ πράξας ὁ ἀσεβέστατος καὶ παράνομος ἡγεμών, ἀπέστειλε τὰ ὑπομνήματα τοῦ ἁγίου μάρτυρος Ὀρέστου ἐν Ἀντιοχείᾳ ὥσπερ τι μέγα ἆθλον καὶ κατόρθωμα πρὸς Διοκλητιανὸν τὸν βασιλέα. Ἐτελειώθη δὲ ἡ μαρτυρία τοῦ ἁγίου ἀθλοφόρου Χριστοῦ καὶ μάρτυρος Ὀρέστου, μηνὶ Νοεμβρίῳ ι΄, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, Ὧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν».

Ε΄ Ταύτης παραλλαγὴ παρὰ Ἀλοϊσίῳ Λιπομάνῳ, ἐν Βενετίᾳ 1551—1560, Ζ΄. 230v—231v.

ϛ΄ Τοῦ Μαρκιανοῦ Κώδικος 349, τοῦ ΙΒ΄ αἰῶνος (ἴδε Ἁγιολογ. Μνημεῖα Θ. Ἰωάννου, ἐν Βενετίᾳ 1884), ἣν καὶ παρατίθημι ἐν τέλει τῆς παρούσης Ἀκολουθίας.



Ζ΄ Ταύτης παραλλαγὴ παρὰ Π. Νικητήν, Mémoires de l'Acad. de St. Petersbourg, VIII, Série I (1897), n. 158.

Τοιχογραφίαι παριστῶσαι τὸν ἅγιον Ὀρέστην, γνωσταί μοι, ὑπῆρχον ***α΄*** ἐν ναῷ λελατομημένῳ ἐκ μονολίθου, κειμένῳ ἐν κοιλάδι μεταξὺ Μεγαρισσοῦ (ἢ Ποταμίων, πατρίδος Γεωργίου τοῦ τροπαιοφόρου καὶ Θεοδοσίου τοῦ κοινοβιάρχου) καὶ Κυζίστρων· ***β΄*** ἐν τῇ κώμῃ Ἄμασι, κειμένῃ πρὸς Δ. τῆς ἀπὸ Τυάνων εἰς Καισάρειαν λεωφόρου, ἔναντι τῆς παλαιᾶς Ἀνδαβάλεως, ἧς δ' οἱ ἐκ τῆς ὑπὸ τῶν Δελήδων σφαγῆς τῷ 1821 περισωθέντες κάτοικοι, ἐν οἷς καὶ ἡ μήτηρ τῆς πρὸς μητρὸς μάμμης μου, κατέφυγον εἰς Νέα Τύανα. Δι' ὡραίας ὁλοσελίδου ἐλαιογραφημένης ἐγχρώμου εἰκόνος τοῦ ἁγίου, ἔργου τῶν Ἰωασαφαίων, κοσμεῖται τὸ ὑπὸ τοῦ ἀοιδίμου ποιητοῦ τῆς παρούσης Ἀκολουθίας δωρηθὲν καὶ ἀφιερωθέν μοι χειρόγραφον αὐτῆς. Ὁ δὲ Σωφρόνιος Ν. Κεσίσογλους ὁ Βυζάντιος, μαθητὴς καὶ ὑποτακτικὸς τοῦ ἐν τῷ κελλίῳ Χαλκιᾶ τοῦ Ἄθω διασήμου ἁγιογράφου καὶ ἀειμνήστου φίλου μου Πατρὸς Προκοπίου, τελειοποιηθεὶς εἰς τὴν ζωγραφικὴν ἐν Ἀμβέρσῃ, τανῦν δ' ἐφημέριος ἐν Λιγουδίστῃ τῆς Τριφυλίας, εἶχε φιλοτεχνήσει μεγάλην ἐπὶ κηρωτοῦ καλλιτεχνικὴν εἰκόνα, παριστῶσαν τὸν ἅγιον Ὀρέστην ἐν Τυάνοις, κρατοῦντα τὴν ἰατρικήν του πυξίδα, μὴ προσκόπτοντα πρὸς λίθον τὸν πόδα, βαδίζοντα μεταξὺ τῆς λίμνης τοῦ Δακίου Διὸς καὶ τοῦ ὑδραγωγείου, οὗτινος ὄπισθεν ἐφαίνοντο τὰ Νέα Τύανα καὶ ὁ Ταῦρος· ταύτην, φέρουσαν ἀφιέρωσιν εἰς μνήμην τῶν γονέων μου καὶ τῆς μάμμης μου, εἶχα δωρήσει τῷ ἐν Τυάνοις καθεδρικῷ ναῷ τοῦ ἁγίου Στεφάνου, ἀνέκειτο δ' ἐν τῷ τέμπλῳ αὐτοῦ, δεξιᾷ Ἰωάννου τοῦ Προδρόμου. Μετενεχθεῖσα εἰς Ἑλλάδα τὸν Σεπτέμβριον τοῦ 1924, ὁμοῦ μετὰ τῶν λοιπῶν πολυπαθῶν κειμηλίων μας, ἐκλάπη αὕτη τε καὶ ἡ «Μαργαριτοφόρος» Παναγία τῶν Τυανέων, δοθεῖσα σὺν πολλοῖς τῶν ἱερῶν μας εἰς τοὺς κολλήγους τῆς Θεσσαλίας χάριν ἐκλογικῶν σκοπῶν!! (ἴδε «Νέον Ἀγῶνα», 22 Φεβρ. 1926). Ταύτης τὴν φωτογραφίαν προτάσσω ἐν τῇ παρούσῃ Ἀκολουθίᾳ τοῦ ἁγίου Ὀρέστου [7]).

Τί δ' ἀπέγινεν ἡ Ἀκολουθία τοῦ Ἁγίου Ὀρέστου, ἡ ψαλλομένη εἰς τὸ Μοναστήριόν του ἐν Τυάνοις καὶ εἰς τοὺς δύο ναούς του ἐν Κωνσταντινουπόλει; Εἰς τὸ χειρόγραφον ὅπερ εἶχεν ὑπ' ὄψει ὁ ἐκδότης τῶν Μηναίων, ἀλλὰ καὶ εἰς τὰ παρὰ τῇ ἐνταῦθα Ἐθνικῇ Βιβλιοθήκῃ, «Ἀκολουθία τοῦ Μάρτυρος οὐχ ὑπάρχει ὅλως», τὰ δ' ἐν αὐτῇ ἔντυπα Μηναῖα, Βενετίας (1678 καὶ 1769) καὶ Κωνσταντινουπόλεως (1843) ἔχουσι, μετὰ τῆς γνωστῆς σημειώσεως, ἐλλιπῆ τινα Κανόνα, οὗτινος ἀγνοῶ τὸν χρόνον τῆς ἐμφανίσεως καὶ τὴν προέλευσιν [8]). Εὐτυχῶς τὸ κενὸν τοῦτο λαμπρῶς ἀνεπληρώθη τῇ αἰτήσει μου καὶ τῇ συστάσει ἀειμνήστου φίλου, τοῦ ἐξόχου ἁγιογράφου Πατρὸς Προ-

7) Ἡ ἐν κώδικι τῆς Μονῆς Ἐσφιγμένου (ἴδε Κατάλογον Λάμπρου) εἰκὼν ἁγίου Ὀρέστου παριστᾷ τὸν συνοδὸν τῶν ἁγίων Εὐγενίου, Εὐστρατίου, Αὐξεντίου καὶ Μαρδαρίου καὶ οὐχὶ τὸν ἡμέτερον Ὀρέστην. Ἐν παρέργῳ δὲ σημειῶ ὅτι ὑπῆρξε καὶ Ὀρέστης Πατριάρχης Ἱεροσολύμων (984—1005) συγγραφεὺς βίων ἁγίων Χριστοφόρου, Μακαρίου καὶ Σάββα μοναχοῦ τοῦ νέου.

8) Ἐκδόσεις Μηναίων ἐν Βενετίᾳ ἀριθμοῦνται 20 μὲν κατὰ τὸν ΙΣΤ΄ αἰῶνα (1527—1599), 33 τὸν ΙΖ΄ (1602—1689), 28 τὸν ΙΗ΄ (1714—1796) καὶ 9 τὸν ΙΘ΄ (1804—1895). Ἴδε H. Delehaye, Propylaeum.

κοπίου, τοῦ ἐν Καρυαῖς τοῦ Ἄθω κελλίου Χαλκιᾶ [9]), ὑπὸ τοῦ ἐπίσης ἀειμνήστου Μεγάλου Ἀρχιμανδρίτου τῆς Μ. τοῦ Χριστοῦ Ἐκκλησίας, τοῦ σοφωτάτου καὶ λογιωτάτου Προηγουμένου Χρυσοστόμου Λαυριώτου, τοῦ Μαδυτίου, ἀνοσίως δολοφονηθέντος ἐν αὐτῷ τούτῳ τῷ Ἁγίῳ Ὄρει τὸν Δεκέμβριον τοῦ 1908 [10]). Καί, τῇ 22ᾳ Ὀκτωβρίου 1904 ἀφιέρωσέ μοι ὁ λιγὺς μελῳδός, ἐπὶ μεμβρανίνου χάρτου, μέλανι καὶ κινναβάρει μετὰ βυζαντινῶν κεφαλαίων γραμμάτων καὶ κοσμημάτων, ἰδιοχείρως γεγραμμένην, καὶ καλλιτεχνικωτάτην εἰκόνα τοῦ ἁγίου Ὀρέστου φέρουσαν, πλουσίως δ' ἐσταχωμένην, εἰς 54 μεγάλας σελίδας, Ἀκολουθίαν, μετὰ μουσουργημένων Δοξαστικῶν καὶ Ἰδιομέλου. Τῇ αἰτήσει μου πρὸς τὸν ἐν μακαρίοις Μέγαν Πατριάρχην Ἰωακεὶμ τὸν Πάνυ (ἀριθ. πρωτ. 4128 τῆς 13 Ἰουλίου 1905), ὑποστηριχθείσῃ ἐγγράφως καὶ ὑπὸ τοῦ ἀειμνήστου Μητροπολίτου Ἰκονίου καὶ Τυάνων κυροῦ Ἀθανασίου Ἠλιάδου, ἡ Ἀκολουθία αὕτη, τροποποιηθεῖσα ἔν τισιν ὑπὸ τῆς Πατριαρχ. Κεντρ. Ἐκκλησ. Ἐπιτροπῆς (ἥτις προσέθηκε καὶ τὸ δ' προσόμοιον τῶν Αἴνων), ἐνεκρίθη ὑπὸ τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου καὶ ἐπεβεβαιώθη ὑπὸ τοῦ Οἰκουμενικοῦ Πατριάρχου. Δειναὶ περιστάσεις καὶ ἡ ἐκ τῆς πατρῴας γῆς καὶ πατρίδος ἐκρίζωσίς μου ἐκώλυσαν τὴν ἐν Κωνσταντινουπόλει, ὡς ἔδει, ἔκδοσιν αὐτῆς. Εὐχαῖς τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος τοῦ Χριστοῦ καὶ ἰαματικοῦ Ὀρέστου τοῦ Τυανέως, φέρω ἤδη ταύτην εἰς φῶς, εἰς μνημόσυνον τοῦ τε ἀοιδίμου ποιητοῦ καὶ μελῳδοῦ αὐτῆς καὶ τῶν συνεργησάντων ἀοιδίμων Πατρὸς Προκοπίου ἁγιογράφου, καὶ τοῦ τότε μὲν Τριτεύοντος τῶν Πατριαρχείων, εἶτα δὲ Μητροπολίτου Σισανίου καὶ Σιατίστης κυροῦ Ἱεροθέου Ἀνθουλίδου (Χρυσοχέρη) τοῦ Βυζαντίου, ἐπὶ πᾶσι δὲ τοῦ ἐν μακαρίοις Μεγάλου Πατριάρχου Ἰωακεὶμ τοῦ Τρίτου.

Ἐν Παλαιῷ Φαλήρῳ, τῇ 10ῃ Νοεμβρίου 1935.
**Σοφοκλῆς Ἀβρ. Χουδαβερδόγλους Θεόδοτος**
Ὁ Τυανεύς

---

9) Ἴδε βιογραφίαν του ἐν «Κτενᾶ, Τὰ Γράμματα ἐν Ἁγίῳ Ὄρει» σελ. 82—85, καὶ φωτογραφίαν του ἐν «τοῦ αὐτοῦ, Ἀθωνιὰς Σχολή» σελ. 141.

10) Ἴδε βιογραφίαν καὶ φωτογραφίαν του ἐν «Κτενᾶ, Ἀθωνιὰς Σχολή», σελ. 60—65, καὶ χαρακτηριστικωτάτην νεκρολογίαν του ἐν «Ἐκκλ. Ἀληθείᾳ» ΚΘ', 10 Ἰανουαρίου 1909, σελ. 6—8, καὶ «Πατρίδι» 27 Δεκ. 1908.

ΤΗ, Ι' ΝΟΕΜΒΡΙΟΥ ΜΗΝΟΣ

# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΙΑΜΑΤΙΚΟΥ ΟΡΕΣΤΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ

## ΤΥΠΙΚΟΝ

Α § 1. Εἰ τύχοι ἡ μνήμη τοῦ ἁγίου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς· **ἐν τῷ Ἑσπερινῷ** μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ κατὰ σειρὰν ϛ' Στιχηρὰ προσόμοια τοῦ ἁγίου. *Δόξα· Δεῦτε τῶν πιστῶν αἱ χορεῖαι. Καὶ νῦν· Ὁ Βασιλεὺς τῶν οὐρανῶν.* Εἴσοδος· *Φῶς ἱλαρόν.* Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Τὰ γ' Ἀπόστιχα τοῦ ἁγίου. *Δόξα· Τῶν Τυανέων τὸν λαμπρὸν πολιοῦχον. Καὶ νῦν· Τὴν πᾶσαν ἐλπίδα μου.* Ἀπολυτίκιον τοῦ ἁγίου· *Τῶν Τυάνων τὸ ἄνθος.* Θεοτοκίον, καὶ ἀπόλυσις.

§ 2. **Εἰς τὸν Ὄρθρον,** μετὰ τὸν Ἑξάψαλμον, εἰς τὸ *Θεὸς Κύριος,* τὸ Ἀπολυτίκιον τοῦ ἁγίου δίς. *Καὶ νῦν· Χαῖρε πύλη Κυρίου.* Εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ Καθίσματα κατὰ σειράν. Οἱ ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου. Τὸ Προκείμενον· *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.* Τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον. Ὁ Ν' Ψαλμὸς χῦμα. *Δόξα· Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν· Ταῖς τῆς Θεοτόκου.* Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ ἰδιόμελον *Ἁγιωσύνην ἐνεδύσω.* Κανόνες τοῦ ἁγίου ὁ α' καὶ ὁ β'. Ἀπὸ γ' ᾠδῆς τὰ Καθίσματα τοῦ ἁγίου καὶ Θεοτοκίον. Ἀφ' ϛ' τὸ Κοντάκιον. Οἶκος τοῦ ἁγίου καὶ Μηνολόγιον. Καταβασίαι· *Ἀνοίξω τὸ στόμα μου.* Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν.* Ἐξαποστειλάρια τοῦ ἁγίου καὶ Θεοτοκίον. Εἰς τοὺς Αἴνους τὰ δ' τῶν Αἴνων προσόμοια. *Τὸν ἀριστέα τῆς ἄνω στρατολογίας Χριστοῦ. Δόξα· Δεῦτε φιλομαρτύρων τὸ σύστημα. Καὶ νῦν· Μακαρίζομέν σε.* Δοξολογία Μεγάλη. Τὸ Ἀπολυτίκιον τοῦ ἁγίου.

§ 3. **Εἰς τὴν λειτουργίαν,** τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί· ἐκ τοῦ Α' Κανόνος τοῦ ἁγίου ἡ γ' καὶ ἡ ϛ' ᾠδή. Μετὰ τὴν Εἴσοδον· Τὸ Ἀπολυτίκιον τοῦ ἁγίου, τοῦ ἁγίου τοῦ ναοῦ, καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν.* Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ ἁγίου. Εἰς τὸ *Ἐξαιρέτως Ἄξιόν ἐστιν.* Εἰς τὰ Δίπτυχα· τὰ Μεγαλυνάρια τοῦ ἁγίου. Κοινωνικόν· *Εἰς μνημόσυνον. Εἴδομεν τὸ φῶς,* καὶ ἀπόλυσις.

Β § 4. Εἰ τύχοι ἐν ***ΚΥΡΙΑΚΗ*** τῷ Σαββάτῳ **ἑσπέρας** μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα στιχηρὰ δ' καὶ τοῦ ἁγίου ϛ'. *Δόξα* τοῦ ἁγίου. *Καὶ νῦν* τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος· *Φῶς ἱλαρόν.* Τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἀναστάσιμα στιχηρά. *Δόξα·* τοῦ ἁγίου. *Καὶ νῦν· Τὴν πᾶσαν ἐλπίδα μου.* Τὸ Ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ἁγίου, τὸ Θεοτοκίον καὶ ἀπόλυσις.

§ 5. ***Τῇ ΚΥΡΙΑΚῌ*, Εἰς τὸν Ὄρθρον**, ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος,* τὰ ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν. Εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Καθίσματα ἓν ἀναστάσιμον καὶ ἓν τοῦ ἁγίου, μετὰ τοῦ Θεοτοκίου, ἐν τῇ α' καὶ β' Στιχολογίᾳ· ἐν δὲ τῇ γ' τὸ τοῦ ἁγίου. Τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ α' τοῦ ἁγίου. Ἀπὸ γ' ᾠδῆς τὰ Ἀναστάσιμα—Κοντάκιον καὶ Οἶκος—χῦμα, εἶτα τὸ Κάθισμα τοῦ ἁγίου καὶ Θεοτοκίον. Ἀφ' ϛ' ᾠδῆς, Κοντάκιον καὶ Οἶκος τὰ τοῦ ἁγίου, καὶ τὸ Μηνολόγιον τοῦ ἁγίου. Καταβασίαι· *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν Τιμιωτέραν.* Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ ἁγίου καὶ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ ἁγίου δ'. *Δόξα·* τὸ Ἑωθινόν. *Καὶ νῦν· Ὑπερευλογημένη.* Δοξολογία Μεγάλη. Τὸ *Σήμερον σωτηρία.*

§ 6. **Εἰς τὴν λειτουργίαν**, Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἄλλα δ' ἐκ τῆς ϛ' ᾠδῆς τοῦ α' Κανόνος τοῦ ἁγίου. Μετὰ τὴν Εἴσοδον· τὸ Ἀναστάσιμον ἀπολυτίκιον, τὸ τοῦ ἁγίου καὶ τοῦ ἁγίου τοῦ ναοῦ, καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν.* Ἀπόστολος τοῦ ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ *Ἐξαιρέτως· Ἄξιόν ἐστιν.* Εἰς τὰ Δίπτυχα· τὰ Μεγαλυνάρια τοῦ ἁγίου. Κοινωνικὸν *Αἰνεῖτε. Εἴδομεν τὸ φῶς,* καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ ἱερεὺς ποιεῖ *Εὐλογητὸν* ἀπὸ τοῦ ἱεροῦ Βήματος. Μετὰ δὲ τὸν Προοιμιακὸν (ψαλμὸν ργ΄) στιχολογοῦμεν τὴν α΄στάσιν τοῦ Α΄ καθίσματος τοῦ Ψαλτηρίου (ψαλμ. α΄—γ΄). Εἰς δὲ τὸ *Κύριε ἐκέκραξα* (ψαλμ. ρμ΄, ρμα΄ καὶ ρκθ΄, 1—2) ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ προσόμοια εἰς ἦχον α΄, πρὸς τό·

***«Πανεύφημοι Μάρτυρες, ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν» α)***

***Στίχ. (ψαλμ. ρκθ΄, 3)*** *Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ Σοὶ ὁ ἱλασμός ἐστιν.*

Ὀρέστα ἀοίδιμε, τρυφῆς* ἀκηράτου μέτοχος* ἐγένου, ὅτι ἐκήρυξας* Χριστὸν τὸν Κύριον* ἀληθῆ Θεόν τε* καὶ σώζειν δυνάμενον* τοὺς πίστει πρὸς Αὐτὸν καταφεύγοντας·* Ὢ παριστάμενος,* σὺν ἀγγέλων τοῖς στρατεύμασι,* μνείαν ποίει* ἡμῶν μεμνημένων σου.

***Στίχ. (ψαλμ. ρκθ΄, 4)*** *Ἕνεκεν τοῦ ὀνόματός Σου ὑπέμεινά Σε Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον Σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.*

Ὀρέστα πανόλβιε, Θεῷ* θῦμα εὐωδέστατον* καὶ ἱερώτατον σφάγιον* σὺ προσενήνεξαι·* ὅτι δριμυτάτας* βασάνους ὑπήνεγκας·* ἀγρίου προσδεθεὶς ποσὶν ἵππου τε* τὰς χεῖρας, ἅγιε,* ἐπὶ μήκιστον συρόμενος*, Θεῷ ζῶντι* παρέθου τὸ πνεῦμά σου.

***Στίχ. (ψαλμ. ρκθ΄ 5).*** *Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.*

Ὀρέστα, μαρτύρων οἱ χοροὶ* σοῦ ψυχὴν τὴν ἄμωμον* καθυπεδέξαντο χαίροντες,* τὰ δὲ ποτάμια* ρεύματα, τὸ σῶμα* φέροντα, παρέδωκαν* τῇ πόλει τῶν Τυάνων ἀλώβητον,* εὖχος λαμπρότατον,* ἰαμάτων χάριν ἄφθονον* βρύον πᾶσι* τοῖς ἀνευφημοῦσί σε.

***Στίχ. (ψαλμ. ρκθ΄ 6).*** *Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος. . .*

Ὀρέστα πανόλβιε, βαφαῖς* τοῦ ἰδίου αἵματος*. . . ***β)***

***Στίχ. (ψαλμ. ρις΄, 1).*** *Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη . . . .*

Πυρὶ τῶν ἀγώνων σου, σοφέ,* πλάνην κατενέπρησας*. . .

***Στίχ. (ψαλμ. ρις΄, 2).*** *Ὅτι ἐκραταιώθη τὸ ἔλεος Αὐτοῦ ἐφ' ἡμᾶς...*

Ὄρθρος ἐξανέτειλας, αὐγαῖς* καταστράπτων ἅπασαν* . . .

**Δοξαστικὸν εἰς ἦχον πλ. δ.΄** γ)

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

Δεῦτε τῶν πιστῶν αἱ χορεῖαι, τὴν μνήμην τοῦ ἀθλοφόρου καὶ πανενδόξου Ὀρέστου λαμπρῶς πανηγυρίσωμεν, καὶ τοῖς ᾄσμασιν ὡς ἄνθεσι τοῦτον καταστέψωμεν, λέγοντες· Χαίροις, ὁ τοῦ ἐπουρανίου βασιλέως στρατιώτης ἀναδειχθεὶς καὶ εὐθαρσῶς αὐτὸν ὁμολογήσας καὶ τὴν πίστιν βεβαιώσας διὰ τοῦ μαρτυρίου· Χαίροις, τῆς Τυανέων ἀήττητος φρουρὸς καὶ προστάτης ὁ ἔνδοξος· Χαίροις, τῶν τὴν

α) Ζήτει ἐν Παρακλητικῇ, ἤχῳ Α΄, Τετάρτῃ ἑσπέρας, Μαρτυρικὸν αὐτόμελον.
β) Τὰ γ' καὶ μόνα ταῦτα Στιχηρὰ τοῦ ἐλλιποῦς Κανόνος ζήτει ἐν τῷ Μηναίῳ.
γ) Ἴδε τὸ μέλος τοῦ Δοξαστικοῦ τούτου ἐν τέλει τῆς Ἀκολουθίας.



μνήμην σου τελούντων πιστῶς ὁ μέγας ποδηγέτης καὶ πρὸς Θεὸν πρεσβευτὴς ἑτοιμότατος. Διό, μαρτύρων καλλονή, Ὀρέστα παναοίδιμε, αἴτησαι ἡμῖν παρὰ Χριστοῦ τοῦ Θεοῦ τὸ μέγα ἔλεος.

**Θεοτοκίον εἰς ἦχον πλ. δ΄.**

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ὁ Βασιλεὺς τῶν οὐρανῶν,* διὰ φιλανθρωπίαν* ἐπὶ τῆς γῆς ὤφθη* καὶ τοῖς ἀνθρώποις συνανεστράφη·* ἐκ Παρθένου γὰρ ἁγνῆς* σάρκα προσλαβόμενος,* καὶ ἐκ ταύτης προελθὼν* μετὰ τῆς προσλήψεως,* εἷς ἐστιν Υἱός,* διπλοῦς τὴν φύσιν,* ἀλλ' οὐ τὴν ὑπόστασιν.* Διὸ τέλειον αὐτὸν Θεὸν* καὶ τέλειον ἄνθρωπον* ἀληθῶς κηρύττοντες,* ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν.* Ὃν ἱκέτευε,* Μῆτερ ἀνύμφευτε,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

***Εἴσοδος. Τὸ*** *Φῶς ἱλαρόν.* ***Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.***

*Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.*
(Κεφ. ΜΓ΄ 9—14.)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
(Κεφ. Γ΄ 1—9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
(Κεφ. Ε΄. 15—23, ΣΤ΄1—3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ

κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφθήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλους ἐθνῶν. Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

***Εἰς τὰ Ἀπόστιχα. Στιχηρὰ προσόμοια εἰς ἦχον β', πρὸς τὸ «Ὅτε ἐκ τοῦ ξύλου Σε νεκρὸν» δ)***

Ὅτε* σύ, Ὀρέστα ἀθλητά,* πρὸ τυραννικοῦ προσηνέχθης* βήματος, ἔνδοξε,* πρὸς τὸ ἀπαρνήσασθαι* Χριστὸν τὸν μόνον Θεόν,* ἀντὶ πάντων, ἐβόησας* λαμπρᾷ παρρησίᾳ,* Οὗτος μόνος ἔστι μοι* πατρὶς καὶ ὄνομα,* τύχη,* ἐπιτήδευμα, γένος,* σέβας, Ὃν ἀπαύστως λατρεύω,* προσκυνῶ καὶ σέβω ὡς φιλάνθρωπον.

***Στίχ. (ψαλμ. ξζ', 34).*** *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Ὅτε* ὁ διώκτης ἡγεμὼν* ἔσπευδε, θωπείαις, συλῆσαί* σου τὴν εὐσέβειαν,* τότε σὺ ἀντέφησας,* Ὀρέστα πάνσοφε·* ἐμοὶ καύχημα μέγιστον,* περίδοξον κλέος* ἐκ προγόνων πέφυκεν* ὁμολογεῖν τὸν Χριστόν,* Ὧ σὺν* παρρησίᾳ λατρεύω* καί, ὡς Θεῷ ζῶντι, θυσίαν* λογικὴν προσφέρω τὴν ἐν πνεύματι.

***Στίχ. (ψαλμ. ιε', 2).*** *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ὅτε* πρὸ βημάτων δικαστῶν* εἰδωλολατρῶν παρεστάθης,* Ὀρέστα, μάρτυς Χριστοῦ,* τότε ἀνεκραύγαζες* βοῶν λαμπρᾷ τῇ φωνῇ·* ἐγὼ δοῦλος μὲν πέφυκα* Χριστοῦ τοῦ Δεσπότου,* καὶ Αὐτὸν ἐπίσταμαι* μόνον Θεὸν ἀληθῆ·* ὅθεν* ὑπὲρ Τούτου καὶ θνήσκω* θάνατον, τρυφῆς, ἡδονῆς τε* καὶ ζωῆς ἁπάσης τιμιώτερον.

**Δοξαστικὸν** ***εἰς ἦχον β'.*** ε) *Δόξα Πατρί...*

Τῶν Τυανέων τὸν λαμπρὸν πολιοῦχον, καὶ τῆς πίστεως θαυμάσιον σέμνωμα, τὸν τοῦ Χριστοῦ γενναῖον στρατιώτην, Ὀρέστην τὸν ὑπέρλαμπρον, πνευματικοῖς ἄνθεσιν ἐπαξίως στεφανώσωμεν· οὗτος γὰρ ἠνδρίσατο κατὰ τοῦ ἀοράτου ἐχθροῦ καὶ παρρησίᾳ πολλῇ τοῦτον κατήσχυνε, καὶ νῦν ἐν δόξῃ παριστάμενος Χριστῷ τῷ Θεῷ, αἰτεῖται ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

**Θεοτοκίον** ***εἰς ἦχον β'.*** *Καὶ νῦν καὶ ἀεί. . . .*

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ*, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

---

δ) Ζήτει ἐν Τριωδίῳ, Μεγάλῃ Παρασκευῇ εἰς τὸν Ἑσπερινόν.
ε) Ἴδε τὸ μέλος τοῦ Δοξαστικοῦ τούτου ἐν τέλει τῆς Ἀκολουθίας.



*Τὸ* ***Νῦν ἀπολύεις*** *(Λουκᾶ Β', 29—32). Τρισάγιον.*
***Ἀπολυτίκιον*** *εἰς ἦχον πλ. α', πρὸς τὸ «Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι» ϛ')*

Τῶν Τυάνων τὸ ἄνθος τὸ εὐωδέστατον* καὶ τῶν μαρτύρων τὸ κλέος τὸ ὑπὲρ νοῦν θαυμαστόν,* τὸν ὁπλίτην τοῦ Χριστοῦ τὸν ἀπροσμάχητον* ἀνευφημήσωμεν, φαιδρῶς* ἐκβοῶντες πρὸς αὐτόν· Ὀρέστα, μάρτυς Κυρίου,* ἱκετεύων μὴ διαλίπῃς* ὑπὲρ ἡμῶν τῶν σὲ τιμώντων πιστῶς.

**Θεοτοκίον** ***(ὅμοιον).***

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος·* χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ·* χαῖρε, ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε.* Ἡ τεκοῦσα ἐν σαρκὶ* τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς* ὑπὲρ τῶν ἀνυμνούντων* καὶ προσκυνούντων τὸν Τόκον σου.

***Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων***, *τὸ Θεοτόκε Παρθένε.*
***Καὶ ἀπόλυσις.***

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

***Μετὰ τὸν*** *Εὐλογητὸν* ***καὶ τὸν Ἑξάψαλμον, Συναπτὴ ὑπὸ τοῦ Ἱερέως, καὶ μετ' αὐτὴν (Ψαλμ. ριζ' 26.25).*** *Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου* ***Μετὰ τῶν στίχων αὐτοῦ. Στίχ. Α'. (Ψαλμ. ρδ' 1).*** *Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

***Στίχ. Β'. (Ψαλμ. ριζ' 10).*** *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

***Στίχ. Γ'.*** ***(Ψαλμ. ριζ' 23).*** *Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

***Ἀπολυτίκιον τοῦ Ἁγίου (δὶς) καὶ Θεοτοκίον*** *«Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος».*

***Εἰς τὴν α' Στιχολογίαν τοῦ Ψαλτηρίου*** ζ') **Κάθισμα** ***εἰς ἦχον δ', πρὸς τό· «Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως»*** η')

Τῇ καρτερίᾳ τῶν δεινῶν, ἀθλοφόρε,* τὸν ὑπερήφανον ἐχθρὸν ἐτροπώσω,* ὑπὲρ Χριστοῦ ἀθλήσας καρτερώτατα·* ὅθεν συναγάλλῃ νῦν* τοῖς ἀγγέλοις, Ὀρέστα,* καὶ ἡμεῖς γεραίρομεν* σοῦ τὴν πάντιμον μνήμην,* ἀναβοῶντες· μνήσθητι ἡμῶν* πρὸς τὸν Δεσπότην, τὸν σώζειν δυνάμενον.

**Θεοτοκίον** ***(ὅμοιον).*** *Δόξα Πατρὶ . . . . . Καὶ νῦν καὶ ἀεί. . . .*

Τοὺς εὐχαρίστῳ σε ψυχῇ καὶ καρδίᾳ* καθικετεύοντας, ἁγνὴ Θεοτόκε,* ἐκ πειρασμῶν διάσωζε καὶ θλίψεων·* ἔχεις γὰρ τὸ δύνασθαι,* σύνδρομόν τε τὸ θέλειν,* ὡς τεκοῦσα, Πάναγνε,* τὴν πηγὴν τοῦ ἐλέους*, τὸν γεγονότα σάρκα δι' ἡμᾶς,* Πατρὸς τὸν Λόγον, Χριστὸν τὸν φιλάνθρωπον.

***Εἰς τὴν β' Στιχολογίαν τοῦ Ψαλτηρίου*** **Κάθισμα** ***εἰς ἦχον δ', πρὸς τό· «Ταχὺ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς»*** θ)

Τὰ ὅπλα τῆς πίστεως ἀναλαβών, ἀθλητά,* γενναίως ἐχώρησας πρὸς παρατάξεις ἐχθροῦ*, καὶ τοῦτον κατήσχυνας·* ἔρριψας γὰρ εἰδώλων* τὸν βωμόν, προσευχῇ σου*,

---

στ) Ζήτει ἐν Παρακλητικῇ, ἤχῳ πλ. α', Σαββάτῳ ἑσπέρας, Ἀπολυτίκιον.
ζ) Ζήτει ἐν τέλει τοῦ Ψαλτηρίου, Ἑρμηνείαν α' καὶ β' Στιχολογίας αὐτοῦ ἀπὸ τῆς 22 Σεπτεμβρίου μέχρις 20 Δεκεμβρίου.
η) Ζήτει ἐν Μηναίῳ, ιδ' Σεπτεμβρίου, Κοντάκιον ἐν Ὄρθρῳ.
θ) Ζήτει ἐν Παρακλητικῇ, ἤχῳ δ', Τετάρτῃ πρωΐ.

ταῦτα εἰς χοῦν λεπτύνας*, σῷ φυσήματι μόνῳ·* διὸ σὲ ἀνευφημοῦμεν,* Ὀρέστα ἔνδοξε.

**Θεοτοκίον** *(ὅμοιον) Δόξα Πατρί... Καὶ νῦν καὶ ἀεί...*

Μαρία πανάμωμε,* Θεοκυῆτορ ἁγνή,* θερμῶς ἱκετεύουσα τὸν σὸν Υἱὸν καὶ Θεὸν* μὴ παύσῃς, δεόμεθα,* λῦσαι τὰς περιστάσεις* τῶν εἰς σὲ προστρεχόντων,* θραῦσαί τε τοῦ Βελίαρ* τὰς δολίας ἐνέδρας,* πρεσβείαις ταῖς μητρικαῖς σου* ἐπικαμπτόμενον.

***Μετὰ τὸν Πολυέλεον (ψαλμ. ρλδ΄ καὶ ρλε΄)* Κάθισμα *εἰς ἦχον δ΄ πρὸς τό· «Ἐπεφάνης σήμερον τῇ Οἰκουμένῃ»* ι΄)**

Ἐπεφάνη σήμερον* ἡ τοῦ Ὀρέστου* σεβασμία ἄθλησις,* φωταγωγοῦσα τοὺς αὐτὸν* ἀνευφημοῦντας καὶ ψάλλοντας·* Χαῖρε, Τυάνων* φαιδρὸν ἐγκαλλώπισμα.

**Θεοτοκίον** *(ὅμοιον) Δόξα Πατρί.. Καὶ νῦν καὶ ἀεί...*

Ἡ θερμὴ ἀντίληψις* καὶ προστασία* σὺ ὑπάρχεις, Δέσποινα,* ἡμῶν τῶν πίστει ἀκλινῶς* ἀναβοώντων πρὸς Κύριον·* λιταῖς Τεκούσης*, Χριστέ, ἡμᾶς ⟨οἴκτειρον.

***Οἱ ἀναβαθμοί· Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.***

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον **Σω**τήρ μου.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμένοι.

*Δόξα Πατρί...*

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

***Β΄ Ἀντίφωνον.** Καὶ νῦν καὶ ἀεί......*

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

***Προκείμενον, ἦχος δ΄.***

(**Ψαλμ. ξζ΄ 35**) *«Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ».*

**Στίχ.** (**Ψαλμ. ιε΄ 2**) *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

**Τὸ** *Πᾶσα πνοὴ* (**Ψαλμ. ρν΄ 5**). **Ἑωθινὸν Εὐαγγέλιον.**

*Ἐκ τοῦ κατὰ Λουκᾶν* (**ΚΒ΄. 11—19**)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδίδοντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

***Μετὰ τὸν Ν΄ Ψαλμόν. Ἦχος πλ. δ΄*** *Δόξα Πατρὶ....Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις...*

---

ι) Ζήτει ἐν Μηναίῳ ΣΤ΄ Ἰανουαρίου, Κοντάκιον ἐν Ὄρθρῳ.



*Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου πρεσβείαις...* **Εἶτα Στίχ.** (**Ψαλμ. Ν΄ 1**). *Ἐλέησόν με ὁ Θεός. . . .* ***καὶ τό·***

**Ἰδιόμελον. *Ἦχος β΄*** *ια).*

Ἁγιωσύνην ἐνεδύσω, Ὀρέστα ἀοίδιμε, τῶν ἀθλητῶν συνόμιλε καὶ ἀγγέλων ὁμόσκηνε, τῶν πιστῶν τὸ στήριγμα, Ἐκκλησίας ἀγαλλίαμα· παριστάμενος τῷ θρόνῳ Χριστοῦ τοῦ παντάνακτος, αἴτησαι ἡμῖν τοῖς τελοῦσι τὴν μνήμην σου ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου.* **Τὸ·** *Κύριε ἐλέησον* **ιβ΄.**

***Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις «Χρυσοστόμου».***

**Ὠδὴ Α΄. *Ἦχος πλ. δ΄. Εἱρμὸς «Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν»*** ιβ)

Ἁπάντων ἀνθρώπων ὁ φωτισμός,* τὸν νοῦν μου αὐγάσας* καταξίωσον, ἐν ᾠδαῖς,* Θεέ, ἀνυμνῆσαι τὸν φωστῆρα* τῆς Ἐκκλησίας Ὀρέστην, καὶ μάρτυρα.

Βραβεῖα τῆς νίκης παρὰ Θεοῦ* ἐδέξω, Ὀρέστα,* τροπωσάμενος τὸν ἐχθρόν,* γενναίως κηρύξας ἐν σταδίῳ* τὸ τοῦ Δεσπότου πανάγιον ὄνομα.

Γένος Ὀρθοδόξων Χριστιανῶν* φύλαττε ἐκ πάσης* ἐπηρείας, Τριὰς σεπτή,* Πατήρ, ὁ Υἱὸς καὶ θεῖον Πνεῦμα,* ταῖς τοῦ Ὀρέστου πρεσβείαις, τοῦ μάρτυρος.

***Θεοτοκίον.***

ΧΡΥΣοῦν σε γινώσκομεν ἀληθῶς,* Ἄχραντε ἁγνή,* θυμιατήριον, ἐσχηκὸς* θυμίαμα θεῖον καὶ εὐῶδες,* ὡς οἱ Προφῆται τρανῶς προκατήγγειλαν.

***Β΄ Κανὼν τοῦ Ἁγίου ἐν τῷ Μηναίῳ, οὗ ἡ ἀκροστιχίς· «Τοὺς σούς, Ὀρέστα Μάρτυς, ἄθλους αἰνέσω»*** ιγ΄)

***Ὠδὴ Α΄. Ἦχος β΄. Εἱρμός· «Δεῦτε, λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ».***

**Καταβασία.** *«Ἀνοίξω τὸ στόμα μου».* **ιδ΄).**

**Ὠδὴ Γ΄. *Εἱρμός· «Οὐρανίας ἁψῖδος ὀροφουργὲ Κύριε».***

Δικαστοῦ πρὸ βημάτων* ἀπενεχθείς, ἔνδοξε,* ἔφης παρρησίᾳ τῷ ἡγεμόνι, σοφώτατε,* ὅτι Χριστός μοί ἐστι* τῶν ἐφετῶν ἡ ἀκρότης,* ἀντὶ πάντων μόνος γὰρ κῦδος καὶ ὄνομα.

Ἐγὼ σέβειν, ἐβόας,* ἀπὸ προγόνων μεμάθηκα,* ἔνδοξε Ὀρέστα,* Υἱὸν Θεοῦ τοῦ παντάνακτος·* Χριστιανὸς οὖν εἰμι* μέχρι τοῦ νῦν, τῷ τυράννῳ*, καὶ ἀεὶ δὲ ἔσομαι καθωμολόγησας.

Ζωὴν ἔνθεον πάντας* διαγαγεῖν, ποίησον* τοὺς δοξολογοῦντας ἀπαύστως τὸ θεῖον κράτος Σου,* ὦ παναγία Τριάς*, ταῖς εὐπροσδέκτοις πρεσβείαις* τοῦ Σὲ μεγαλύναντος Ὀρέστου μάρτυρος.

***Θεοτοκίον.***

Ὁ υἱός σου, Παρθένε,* ἐπὶ σταυροῦ ἔδειξε* φίλῳ μαθητῇ σε, εἰπών· ἰδοὺ νῦν ἡ μήτηρ σου·* σὲ οὖν, μητέρα ἡμεῖς* ἐπιγραφόμενοι πάντες,* πρέσβυν εὐσυμπάθητον τούτῳ προσάγομεν.

---

ια) Ἰδὲ τὸ μέλος τοῦ Ἰδιομέλου ἐν τέλει τῆς ἀκολουθίας.

ιβ) Ζήτει ἐν Μικρῷ Παρακλητικῷ Κανόνι.

ιγ) Τοῦ Β΄ Κανόνος τοὺς Εἱρμοὺς ζήτει, τῆς μὲν Α΄ ᾠδῆς ἐν Παρακλητικῇ, ἤχῳ β΄, Δευτέρᾳ πρωΐ, τῶν δὲ λοιπῶν ᾠδῶν (Β΄—Θ΄) εἰς τὸν Ἱκετήριον Κανόνα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ποίημα Θεοκτίστου μοναχοῦ τοῦ Στουδίτου (ΙΒ΄ αἰῶνος) ἐν τέλει τῆς Παρακλητικῆς.

ιδ) Ζήτει ἐν Παρακλητικῇ, ἤχῳ δ΄, Παρασκευῇ πρωΐ.

***Β' Κανών, ἐν τῷ Μηναίῳ. Ὠδὴ Γ'. Εἱρμός· «Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας».***
**Καταβασία.** *«Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε».*
**Κάθισμα.** ***Ἦχος δ', πρὸς τό· «Κατεπλάγη Ἰωσὴφ τὸ ὑπὲρ φύσιν θεωρῶν». ιε')***

Σύ, Ὀρέστα, ἀνδρικῶς* ἐν τῷ σταδίῳ τὸν Χριστὸν* ὡμολόγησας Υἱὸν* ζῶντος Θεοῦ ἀληθινόν,* Οὗ τῇ δυνάμει τεράστια ἐτέλεσας·* εἰδώλων τὸν βωμὸν* εὐχῇ κατέρριψας*, ξόανα δ' αὐτῶν* εἰς χοῦν ἐλέπτυνας·* διὸ τελοῦμεν σήμερον σὴν μνήμην*, ἀναβοῶντες πρὸς Κύριον·* ταῖς τοῦ Ὀρέστου,* Χριστέ, πρεσβείαις,* τὰς ψυχὰς ἡμῶν σῶσον.

*Δόξα Πατρί...* ***Ἦχος δ', πρὸς τό· «Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως».***
**Κάθισμα** ***Β' Κανόνος, ἐν τῷ Μηναίῳ.***
**Θεοτοκίον.**

*Καὶ νῦν....* ***Ἦχος δ', πρὸς τό· «Κατεπλάγη Ἰωσὴφ τὸ ὑπὲρ φύσιν θεωρῶν».***

Μητροπάρθενε ἁγνὴ* Θεοκυῆτορ Μαριάμ,* εὐσπλαγχνίας ἡ πηγὴ* σὺ ἀναδέδειξαι ἡμῖν,* ὡς τετοκυῖα τὴν ἄβυσσον φιλανθρωπίας·* ἐλέησον ἡμᾶς* σοὶ προστρέχοντας,* σέ τε ὡς Θεοῦ* μητέρα σέβοντας*, τῷ σῷ Υἱῷ προβάλλουσα Παρθένε,* μητρῷα σπλάγχνα καὶ λέγουσα·* Υἱὲ παντάναξ,* σκέπε καὶ φρούρει* τοὺς ἐμὲ δεομένους.

**Ὠδὴ Δ'.** ***Εἱρμὸς «Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας Σου τὸ μυστήριον».***

Ἡγεμόνος, τεθάρρηκας,* ἐναντίον λέγειν, οὐδὲν πτοούμενος·* οὐρανὸν καὶ γῆν μὴ πήξαντες* οἱ θεοί σου πάντες ἀπολέσθωσαν.

Θεοῖς ὅλως οὐκ ἔθυσας,* ζῶντι δὲ Θεῷ θυσία γεγένησαι* ἱερά τε καὶ εὐπρόσδεκτος,* διὰ βίου, Μάρτυς, καὶ ἀθλήσεως.

Ἱκετεύομεν, σύνθρονε* Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἀμέριστε,* τὴν εἰρήνην πᾶσι δὸς ἡμῖν,* ταῖς Ὀρέστου μάρτυρος ἐντεύξεσι.

***Θεοτοκίον.***

Σέ, Παρθένε, κεκτήμεθα* πρέσβυν θερμοτάτην πρὸς τὸν Θεὸν ἡμῶν* τὸν Υἱόν σου· Ὃν ἱκέτευε,* ὀφλημάτων λύσιν ἡμῖν δωρήσασθαι.

***Β' Κανών, ἐν τῷ Μηναίῳ. Ὠδὴ Δ'. Εἱρμὸς «Ἐλήλυθας ἐκ Παρθένου οὐ πρέσβυς».***
**Καταβασία.** *«Τὴν ἀνεξιχνίαστον θείαν βουλήν»*
**Ὠδὴ Ε'.** ***Εἱρμὸς «Φώτισον ἡμᾶς τοῖς προστάγμασί Σου, Κύριε».***

Κύριον Θεόν,* σύ, Ὀρέστα, ὡμολόγησας,* καταφρονῶν στερρῶς βασάνων πικρῶν,* καὶ πικροτάτου θανάτου, Μάρτυς ἀοίδιμε.

Λόγοις, ἡγεμών,* οὐ μὲ πείσεις θύσειν δαίμοσι·* πρᾶττε ἃ βούλει λοιπόν, ὅπως γνῷς,* ἔφης, Ὀρέστα, Θεοῦ ἀληθοῦς τὴν δύναμιν.

Μίαν ἐν τρισὶ* τοῖς προσώποις τὴν Θεότητα,* Πατέρα, Λόγον καὶ Πνεῦμα τὸν Θεόν,* φωναῖς αἰσίαις ἀπαύστως ὑμνεῖσθαι ἄξιον.

***Θεοτοκίον.***

Τόμος ὁ καινός,* Πατρὸς Λόγος ἐν ᾧ γέγραπται,* σὺ ἀνεδείχθης, Θεόνυμφε ἁγνή,* ὡς οἱ Προφῆται κατήγγειλαν κόσμῳ ἄνωθεν.

***Β' Κανών, ἐν τῷ Μηναίῳ. Ὠδὴ Ε'. Εἱρμός· «Ὁ φωτισμὸς τῶν ἐν σκότει κειμένων».***
**Καταβασία.** *«Ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θείᾳ δόξῃ σου».*

---

ιε) Ζήτει ἐν Παρακλητικῇ, ἤχῳ δ', Κυριακῇ πρωΐ, Θεοτοκίον αὐτόμελον.



**Ὠδὴ ΣΤ'.** ***Εἱρμὸς «Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον».***

Νεάζουσαν ἡλικίαν ἔχων μέν,* τὸ δὲ φρόνημα ἐνθέως γενναῖον,* πρὸς τοῦ ἐχθροῦ παρατάξεις ἀντέστης,* καταβαλὼν μεθοδείας καὶ ἔνεδρα,* Ὀρέστα, τούτου, ἀνδρικῶς,* καὶ τῆς νίκης ἐδέξω τὸν στέφανον.

Ξεόμενός σου τὰς σάρκας, ἔνδοξε,* οὐ διέλιπες Σωτῆρα τῶν ὅλων* δοξολογῶν, ὅτι γέγονας πάσαις* ταῖς τοῦ ἐχθροῦ ἐπινοίαις ἀνάλωτος,* διὸ καὶ ἔσχες ἀκλινῶς* καρτερίαν εἰς τέλος ἀνένδοτον.

Ὁ τύραννος ἐν εἱρκτῇ κατέκλεισεν* ἀσιτίᾳ παντελεῖ σε συνέχων·* ἀλλὰ χρησταῖς ταῖς ἐλπίσιν ἐβόας* ὅτι ἐκ πίστεως δίκαιος ζήσεται·* δεήσεσι προσκαρτερῶν* καὶ ψυχὴν ἐν Θεῷ ἀγαλλόμενος.

***Θεοτοκίον.***

Ὁ ἔμψυχος οὐρανός, Θεόνυμφε,* σὺ ἐδείχθης, ἀνατείλασα κόσμῳ* τὸν νοητῶς καταυγάσαντα τοῦτον,* δικαιοσύνης λαμπρότατον ἥλιον.* Ὦ πρέσβευε, τὸν ψυχικὸν* φωτισμὸν ἡμῖν δοῦναι καὶ ἔλεος.

***Β' Κανὼν ἐν τῷ Μηναίῳ. Ὠδὴ ϛ'. Εἱρμὸς «Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος»***
**Καταβασία** *«Τὴν θείαν ταύτην καὶ πάντιμον».*
**Κοντάκιον.** ***Ἦχος πλ. δ', πρὸς τό· «Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια».*** ιστ')

Τὸν στρατιώτην τοῦ Χριστοῦ τὸν γενναιότατον* καὶ τῶν Τυάνων πολιοῦχον ἀπροσμάχητον* εὐφημοῦμέν σε, Ὀρέστα, ἐν ὑμνῳδίαις,* ἀνακράζοντες· ἱκέτευε τὸν Κύριον* λυτρωθῆναι πειρασμῶν καὶ περιστάσεων* τοὺς βοῶντάς σοι· Χαῖρε Μάρτυς πολύαθλε.

***Οἶκος.***

Ἄγγελοι οὐρανόθεν ἐν χαρᾷ ἐπεκρότουν,* ἡνίκα τὸν Χριστὸν ὡμολόγεις·* ἡμεῖς δὲ νῦν τὴν μνήμην τὴν σὴν* ἑορτάζοντες, ἀθλοφόρε Ὀρέστα,* ἐν κρότοις τε καὶ ᾄσμασι κραυγάζομεν πρὸς σὲ τοιαῦτα·

Χαῖρε, δι' οὗ ὁ Χριστὸς ἐκηρύχθη·
χαῖρε, δι' οὗ ὁ Σατὰν κατῃσχύνθη.
Χαῖρε, τῶν μαρτύρων φαιδρὸν ἐγκαλλώπισμα·
χαῖρε ἀθλητῶν τὸ λαμπρὸν σεμνολόγημα.
Χαῖρε, ὕψος δυσανάβατον πόνοις τοῖς ἀθλητικοῖς·
χαῖρε, βάθος δυσθεώρητον καρτερίας ψυχικῆς.
Χαῖρε, ὅτι ἐγένου Βασιλέως ὁπλίτης·
χαῖρε, ὅτι ἐδέξω ἐξ αὐτοῦ στέφος νίκης.
Χαῖρε, φρουρὲ Τυάνων ἀήττητε·
χαῖρε, λαμπρὲ σῆς πόλεως πρόμαχε.
Χαῖρε, δι' οὗ ἐστερέωτ' ἡ πίστις·
χαῖρε, δι' οὗ εὐλογεῖται ὁ Κτίστης.
Χαῖρε, Μάρτυς πολύαθλε.

---

ιστ) Ζήτει ἐν Μηναίῳ Μαρτίου κε', Κοντάκιον ἐν Ὄρθρῳ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ – ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Συναξάριον*

Τῇ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς (Νοεμβρίου) μνήμη τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ ἰαματικοῦ Ὀρέστου, τοῦ ἐν Τυάνοις τῆς Καππαδοκίας ἀθλήσαντος ἐν ἔτει 289. ιζ')

*Στίχοι ἰαμβικοί.*

Ἀθλητικῶν, Ὀρέστα, σῶν ἱππασμάτων
Νικητικὰ βραβεῖα πολλὰ προσδέχου.
Οὐράνιον δεκάτῃ ὅρος ἤλυθε λαμπρὸς Ὀρέστης. ιη)

*Ὑπόμνημα.*

Ὁ ἅγιος μάρτυς Ὀρέστης ὑπῆρχεν ἐκ πόλεως Τυάνων, χώρας Καππαδοκίας· ὁμολογῶν δὲ τὸν Χριστὸν καὶ καταφρονῶν τῶν εἰδώλων, ἐκρατήθη παρὰ Μαξίμου ἡγεμόνος, προχειρισθέντος ὑπὸ Διοκλητιανοῦ· καὶ καταναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθείς, τύπτεται μετὰ ῥάβδων ἰσχυρῶς ἐπὶ τοσοῦτον, ὥστε τὰ ἔνδον τῶν σπλάγχνων αὐτοῦ φαίνεσθαι ἔξωθεν· μετὰ δὲ τὸ τυφθῆναι, ἀπήχθη εἰς τὸν ναὸν τῶν εἰδώλων τοῦ προσκυνῆσαι αὐτοῖς· ὁ δὲ ἐνεφύσησεν εἰς τὰ εἴδωλα καὶ ἐγένοντο παραχρῆμα ὡσεὶ κονιορτός. Εἶτα παρεδόθη τῇ φυλακῇ καὶ μετὰ ἑπτὰ ἡμέρας παρέστη τῷ βήματι τοῦ Μαξίμου· καὶ πάλιν ἀναγκασθεὶς καὶ μὴ πεισθείς, ἥλοις μακροῖς ἐτρυπήθη τοὺς ἀστραγάλους καὶ προσδεθεὶς ἀγρίῳ ἵππῳ μετὰ ἁλύσεων, ἐλαυνομένῳ βίᾳ πολλῇ, καὶ συρθεὶς μίλια εἰκοσιτέσσαρα ἀπὸ τῆς πόλεως Τυάνων, παρέδωκε τὸ πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν Ἑβδομήκοντα, Ὀλυμπᾶ, Ροδίωνος, Σωσιπάτρου, Τερτίου, Ἐράστου καὶ Κουάρτου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοστηρίκτου τοῦ ἐν Συμβόλοις, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Νόννου, ἐπισκόπου, τοῦ κατηχήσαντος τὴν ἁγίαν Πελαγίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτίνου ἐπισκόπου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Μίλου, ἐπισκόπου, καὶ τῶν δύο μαθητῶν αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Καλλιοπίου, Νίρου καὶ Ὠρίωνος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ Ζ'.** ***Εἱρμός. «Οἱ ἐκ τῆς Ἰουδαίας καταντήσαντες Παῖδες».***

Πικραῖς οὐ κατεπτήχθης* ἀπειλαῖς ἡγεμόνος, ἀπαρνηθῆναι Χριστόν·* ἀλλ' ἐν δυνάμει τούτου,* τῶν ἥλων ἐμπαγέντων* ἐν τῷ σώματι, ἔψαλλες·* ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Ρευμάτων ποταμίων* ἐξαχθέν σου τὸ σῶμα, λαμπροφοροῦντος χερσίν,* Ὀρέστα, κατετέθη,* ἰάματα πηγάζον* ἐκβοώσῃ τῇ πόλει σου·* ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

Συντήρησον τὸν κόσμον,* ἡ Τριάς, ἐν γαλήνῃ, τῇ δ' Ἐκκλησίᾳ σου* εἰρήνην δός, πρεσβείαις* τοῦ γενναίου Ὀρέστου,* ὃν τιμῶντες, κραυγάζομεν·* ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

ιζ) Ἴδε περὶ τοῦ ἔτους τῆς ἀθλήσεως, ἐν Προλεγομένοις, σελ. 6.
ιη) Σ η μ. Σ. Τὰ ἰαμβεῖα καὶ τὸ ὑπόμνημα ἐκ παλαιοῦ Συναξαρίου.
Σ η μ. Ἐ κ δ. Εἰς παλαιὰ Μηναῖα (1678, 1769), ἡ μὲν τελευταία λέξις τοῦ ἰαμβικοῦ διστίχου εἶναι «π ρ ο σ δ ό κ α», ἑξάμετρον δὲ τὸ ἑξῆς·
Ἀ γ ρ ί ῳ ἀ μ φ ε δ έ θ η δ ε κ ά τ ῃ ἐ ν ὶ ἵ π π ῳ Ὀ ρ έ σ τ η ς.



*Θεοτοκίον.*

Μητέρα καὶ Παρθένον* ἐγνωκότες σὲ πάντες ἀνευφημοῦμεν, ἁγνή,* ὡς τὸν Σωτῆρα πάντων* τετοκυῖαν ἀφράστως* τῶν βοώντων, πανύμνητε·* ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ.

***Β' Κανών, ἐν τῷ Μηναίῳ. Ὠδὴ Ζ'. Εἱρμὸς «Εἰκόνος χρυσῆς ἐν πεδίῳ Δεηρᾶ».***

**Καταβασία** *«Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες».*

**Ὠδὴ Η',** ***Εἱρμὸς «Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι».***

Τοῦ Βασιλέως* τῶν οὐρανῶν στρατιώτης* γεγονὼς νικηφόρος, Ὀρέστα,* μέλπεις σὺν Ἀγγέλοις* αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὑπὲρ τῆς δόξης* Θεοῦ, δοξάζοντος πάντας* τοὺς δοξάζοντας Αὐτόν, ἐβασανίσθης·* διὸ ἀντιδοξάζῃ,* Ὀρέστα, εἰς αἰῶνας.

Φῶς ἓν ὑμνοῦμεν* τὸν ἐκ φωτὸς Πατρὸς Λόγον* καὶ τὸ Πνεῦμα, φῶς θεῖον, Τριάδα,* Θεότητα μίαν,* εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ὁ ἀθλοφόρος* ὁ ἐν τῇ Βάτῳ, Ὀρέστης,* τὴν ζωὴν ἀπέθετο, Παρθένε,* μυστικὴν σε βάτον* ὑμνῶν εἰς τοὺς αἰῶνας.

***Β' Κανών, ἐν τῷ Μηναίῳ, Ὠδὴ Η'. Εἱρμός· «Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων».***

**Καταβασία** *«Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ».*

Εἶτα *«Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν».*

**Ὠδὴ Θ'.** ***Εἱρμὸς «Κυρίως Θεοτόκον σὲ ὁμολογοῦμεν».***

Χορεύσωμεν ἐν θείοις* ᾄσμασι, τελοῦντες* μνήμην Ὀρέστου τοῦ μάρτυρος σήμερον,* ὑπὲρ ἡμῶν γὰρ πρεσβεύει Κυρίῳ πάντοτε.

Ψαλμοῖς δέ, σύ, καὶ ὕμνοις,* πόλις τῶν Τυάνων,* σὸν πολιοῦχον Ὀρέστην ἑόρταζε νῦν,* μεγαλαυχοῦσα τῇ δόξῃ τούτου καὶ χαίρουσα.

Ὦ Πάτερ, Λόγε, Πνεῦμα,* Ὀρέστου ταῖς πρεσβείαις,* **αἰτησαμένῳ τὸν ὕμνον καὶ τῷ πονήσαντι*** ἀντιβραβεύοις τελείαν πταισμάτων ἄφεσιν.

*Θεοτοκίον.*

Ὑπερευλογημένη* Κόρη, ἡμᾶς σῶσαι,* τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν αἴτησαι,* τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας.

***Β' Κανών, ἐν τῷ Μηναίῳ, Ὠδὴ θ'. Εἱρμὸς «Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον τὸν ἀρρήτῳ σοφίᾳ».***

**Καταβασία** *«Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι».*

**Ἐξαποστειλάριον,** ***ἦχος β' πρὸς τό·***
***«Γυναῖκες ἀκουτίσθητε φωνὴν ἀγαλλιάσεως».*** ιθ')

Χορείαν συστησάμενοι,* κροτήσωμεν ἐν ᾄσμασι,* τοῦ ἀθλοφόρου Ὀρέστου* τὴν μνήμην ἐπιτελοῦντες·* Χριστὸν γὰρ ἀληθῆ Θεὸν* οὗτος τρανῶς ἐκήρυξε·* διὸ καὶ νῦν ἀγάλλεται* ἐν οὐρανοῖς, σὺν ἀγγέλοις* ὑπὲρ τοῦ κόσμου πρεσβεύων.

***Ἕτερον, ἦχος γ', πρὸς τὸ «Ἀπόστολοι ἐκ περάτων συναθροισθέντες ἐνθάδε».*** κ')

Ἡ πόλις ἡ τῶν Τυάνων* ἀγάλλου, χαῖρε καὶ σκίρτα,* ἀνθήσασα τῷ Κυρίῳ* τὸν ἀθλοφόρον Ὀρέστην·* καὶ τὰ μνημόσυνα τούτου* νῦν ἐπικρότει τοῖς ὕμνοις.

ιθ) Ζήτει ἐν Πεντηκοσταρίῳ, Κυριακῇ τῶν Μυροφόρων, Ἐξαποστειλάριον αὐτόμελον.
κ) » » Μηναίῳ, Αὐγούστου ιε', Ἐξαποστειλάριον ἐν Ὄρθρῳ.

**Θεοτοκίον (ὅμοιον)**

Ὦ Δέσποινα Θεοτόκε,* τὸν σὸν Υἱὸν ἐκδυσώπει,* ἡμᾶς λυτρῶσαι κινδύνων* τοὺς τὴν φωνήν σοι βοῶντας* ἀγγέλου, τὴν χαρμόσυνον·* Μῆτερ ἀνύμφευτε, χαῖρε.

**Αἶνοι. Ἦχος α΄.**

**(Ψαλμ. ρν΄ 5. ρμη΄ 1)**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε Αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**(Ψαλμ. ρμη΄ 2)**

Αἰνεῖτε Αὐτὸν πάντες οἱ Ἄγγελοι Αὐτοῦ· αἰνεῖτε Αὐτὸν πᾶσαι αἱ Δυνάμεις Αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**Στιχηρὰ προσόμοια δ΄ εἰς ἦχον α΄, πρὸς τό.**
**«Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα».** κα΄)

**Στίχ.** (**Ψαλμ. ρμθ΄ 9**) *Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις Αὐτοῦ.*

Τὸν ἀριστέα τῆς ἄνω στρατολογίας Χριστοῦ,* τὸν τοῦ ἐχθροῦ τὸ θράσος* καὶ ὀφρὺν καθελόντα,* Ὀρέστην τὸν πολύτλαν* δεῦτε πιστοὶ* εὐφημήσωμεν ᾄσμασι,* καὶ γὰρ ἀπαύστως πρεσβεύει ὑπὲρ ἡμῶν* τῇ Τριάδι παριστάμενος.

**Στίχ.** (**Ψαλμ. ρν΄ 1**). *Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις Αὐτοῦ· αἰνεῖτε Αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως Αὐτοῦ.*

Αἱ τῶν ἀγγέλων χορεῖαι φαιδρῶς ἐκρότησαν* ἐπὶ τῇ σῇ ἀθλήσει,* γενναιόφρον Ὀρέστα,* ὁρῶσαί σε, ἐνώπιον δικαστοῦ* παρανόμου κηρύττοντα,* ὅτι Χριστοῦ ἐκ προγόνων δοῦλος πιστός* εἰμι, ἔφυν τε καὶ ἔσομαι.

**Στίχ. (Ψαλμ. ρν΄ 2).** *Αἰνεῖτε Αὐτὸν ἐπὶ ταῖς δυναστείαις Αὐτοῦ· αἰνεῖτε Αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης Αὐτοῦ.*

Τῶν Τυανέων ἡ πόλις σκίρτα καὶ χόρευε,* ἀνθήσασα ὡς κρῖνον,* εὐωδέστατον ὄντως,* τὸν ἔνδοξον Ὀρέστην, τὸ εὐκλεὲς* ἀθλητῶν ἐγκαλλώπισμα,* τῆς εὐσεβείας τὸν κήρυκα τὸν λαμπρόν,* ἀσεβείας τε διώκτην στερρόν.

**Στίχ.** (**Ψαλμ. ρν΄ 3**). *Αἰνεῖτε Αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε Αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.*

Τῶν ἰαμάτων τὴν χάριν παρὰ Θεοῦ εἰληφώς,* τοὺς προσιόντας πόθῳ* εὐλαβῶς τῷ ναῷ σου,* καὶ τοὺς ἐπιτελοῦντάς σου τὴν φαιδρὰν* καὶ φωσφόρον πανήγυριν,* ἐκ νοσημάτων παντοίων φθοροποιῶν* ἀπαλλάττοις, μάρτυς ἔνδοξε.

**Δοξαστικὸν εἰς ἦχον πλ΄ α΄.** *Δόξα Πατρί...* κβ)

Δεῦτε φιλομαρτύρων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα, δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν ἐπὶ τῇ μνήμῃ τοῦ μάρτυρος Ὀρέστου· οὗτος γὰρ ὁ τοῦ ἐπουρανίου Βασιλέως γενναῖος στρατιώτης, καλῶς ἀγωνισάμενος κατὰ τοῦ ἀντιπάλου, τὰ τούτου εἴδωλα δυνάμει ἀοράτῳ εἰς χοῦν ἐλέπτυνε, κατὰ τὸ γεγραμμένον, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Πρὸς αὐτὸν οὖν βοήσωμεν· Ὀρέστα μάρτυς ἔνδοξε, πρέσβευε Χριστῷ τῷ Θεῷ λυτρωθῆναι κινδύνων ψυχῆς τε καὶ σώματος τοὺς φαιδρῶς ἑορτάζοντας τὴν σεβασμίαν σου ἄθλησιν.

**Θεοτοκίον εἰς ἦχον πλ. α΄.** *Καὶ νῦν καὶ ἀεί...*

Μακαρίζομέν σε,* Θεοτόκε Παρθένε,* καὶ δοξάζομέν σε* οἱ πιστοὶ κατὰ χρέος,* τὴν πόλιν τὴν ἄσειστον,* τὸ τεῖχος τὸ ἄρρηκτον,* τὴν ἀρραγῆ προστασίαν* καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη. Καὶ ἀπόλυσις.**

---

κα) Ζήτει ἐν Παρακλητικῇ, ἤχῳ α΄, Κυριακῇ ἑσπέρας, δοξαστικὸν Ἀποστίχων.
κβ) Ἴδε τὸ μέλος τοῦ Δοξαστικοῦ τούτου ἐν τέλει τῆς Ἀκολουθίας.



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικά, εἰς ἦχον πλ. δ΄. (Ψαλμ. ρβ΄ καὶ ρμε΄).**
**Οἱ Μακαρισμοὶ (Λουκᾶ κγ΄ 42, Ματθαίου ε΄ 3—12).**
**Ἐκ τοῦ Α΄ Κανόνος τοῦ Ἁγίου, ἡ γ΄ καὶ ἡ στ΄ Ὠδή.**

**Ὁ Ἀπόστολος**

**Προκείμενον, ἦχος βαρύς.**

**(Ψαλμ. ξγ΄ 11).** *Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ Αὐτόν.*
**(Ψαλμ. ξγ΄ 1) Στίχ.** *Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς Σέ.*
*Πρὸς Τιμόθεον δευτέρας ἐπιστολῆς Παύλου,* **τὸ ἀνάγνωσμα.**
(*Β΄* **Τιμ. β΄ 1—10.**)

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν Μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω. Δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ κατὰ τὸ Εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτοὺς ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

**Εὐαγγέλιον.** *Ἐκ τοῦ κατὰ Ἰωάννην.* **(Κεφ. ιε΄ 17—ιστ΄ 2).**

Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐ μ ί σ η σ ά ν μ ε δ ω ρ ε ά ν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

**Εἰς τὰ Δίπτυχα ψάλλονται τὰ ἑπόμενα Μεγαλυνάρια εἰς ἦχον β΄.**

Ἀθλητὴν ὑπέρλαμπρον τοῦ Χριστοῦ* καὶ μαρτύρων θείων* ἐγκαλλώπισμα φαεινόν,* τὸν ἐκ τῶν Τυάνων καὶ Καππαδόκων χώρας*, τὸν ἔνδοξον Ὀρέστην ὕμνοις τιμήσωμεν.

Χαίροις τῶν μαρτύρων ἡ καλλονὴ· καὶ φρουρὸς Τυάνων· ἀπροσμάχητος καὶ θερμός,· Ὀρέστα ἀθλοφόρε, τοὺς σὲ ἀνευφημοῦντας· ἐκ βλάβης ἐναντίων παντοίων φύλαττε.

**Κοινωνικὸν** *εἰς ἦχον γ΄ (Ψαλμ. ρια΄ 6).*

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούια.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Μετάφρασις τῆς ἀθλήσεως ἤτοι ὁμολογίας τοῦ Ἁγίου Μάρτυρος Ὀρέστου, μαρτυρήσαντος ἐν Τυάνοις τῆς Καππαδοκῶν ἐπαρχίας.

§ 1 Διοκλητιανὸς ὁ παράνομος τὴν βασίλειον ἐξουσίαν τυραννικῶς διαρπάσας, τυραννικώτερον τὸν τρόπον καὶ κατὰ πάντων μὲν τῶν ὑπηκόων ἐκέκτητο, ἐξαιρέτως δὲ τῇ κατὰ Χριστιανῶν ἀποτομίᾳ μανικώτερον χρησάμενος τὸν κατ᾽ αὐτῶν βαρύτατον καὶ χαλεπώτατον διωγμὸν ἐδογμάτισε, κατὰ πᾶσαν ἐξαποστείλας ἐπαρχίαν καὶ πόλιν ἡγεμόνας καὶ δικαστάς, οὓς ἂν ἐδοκίμασεν ἀπηνεστέρους τῶν ἄλλων ὄντας καὶ τοὺς πολλοὺς ὠμότητι ὑπερβάλλοντας πρὸς τὴν οἰκείαν ἀρέσκειαν καὶ κακότροπον βούλησιν σύνδρομον ἔχοντας τὴν σπουδὴν καὶ τὴν διέγερσιν, ἐξ ὧν καὶ Μάξιμος ἦν τὸ ἐξαίρετον ἐν πάσῃ πονηρίᾳ καὶ ῥαδιουργίᾳ ἀπενεγκάμενος ὄνομα. Οὗτος τὴν ἡγεμονίαν πάσης τῆς Κιλικίας καὶ Καππαδοκίας παραλαβὼν καὶ τὴν ἐξουσίαν λαβὼν κατὰ παντὸς τοῦ τῶν Χριστιανῶν γένους, ἐξῆλθε καθάπερ τις θὴρ ἀνήμερος μετὰ πολλῆς ἀπειλῆς ὠρυόμενος καὶ ζητῶν τίνα καταπίῃ τῶν εἰς Χριστὸν τὸν ἀληθῆ Θεὸν πιστευόντων.

§ 2 Καταλαβόντι τοιγαροῦν αὐτῷ τὴν τῶν Τυανέων Μητρόπολιν καταμηνύεται παρὰ τῶν ὑπασπιστῶν τῆς ἀσεβείας τὰ περὶ τῆς πολιτείας τοῦ μακαριωτάτου θεράποντος Χριστοῦ Ὀρέστου, λεγόντων τῶν ἐνδιαβαλλόντων «ὅτι πέρ ἐστί τις ἐνταῦθα » νεανίσκος τοὔνομα μὲν Ὀρέστης τὴν θρησκείαν δὲ Χριστιανὸς καὶ τὴν ἐπιστήμην » ἰατρός, ὅστις οὐ παύεται καθ᾽ ἑκάστην ἡμέραν ἀναπείθων πάντας τοὺς ἐν τῇ πόλει » μὴ τοῖς θεοῖς θυσίαν προσφέρειν, ἀλλ᾽ ἕνα μόνον εἰδέναι Θεόν, τὸν λεγόμενον » Χριστόν, κἀκείνῳ πιστεύειν καὶ προσκυνεῖν· ταύτην γὰρ εἶχε τὴν θρησκείαν πατροπαράδοτον, ὑπὸ τῶν οἰκείων γονέων κατηχηθεὶς καὶ διδαχθεὶς τὰ τῶν Χριστιανῶν » μυστήρια, ἅπερ παραλαβὼν ὡς βέβαια τυγχάνοντα καὶ ἀναντίρρητα, οὐκ αὐτὸς μόνον » ἀσφαλῶς παραφυλάττει ἀλλὰ καὶ πάντας ἐπιμελῶς ἐκδιδάσκει τὰ αὐτὰ φρονεῖν τε » καὶ ποιεῖν». Ὡς οὖν κατήκοος γέγονε τούτων ὁ Μάξιμος ἀποστείλας παρευθὺ στρατιώτας μετὰ πολλῆς τῆς ταχυτῆτος τὸν Ἅγιον παρέστησε πρὸ τοῦ βήματος καί φησι πρὸς αὐτόν· «τί σοί ἐστιν ὄνομα; τί δὲ ἐπιτήδευμα; ὁποῖόν τε τὸ γένος καὶ τὸ σέβας καὶ » ὁποίας ὥρμησαι πατρίδος καὶ τύχης; συντόμως ἀνάγγειλον· οὐ γὰρ μικρῶς κεκινήμεθα κατὰ σοῦ τὰ περὶ σοῦ ἀκούσαντες· μετὰ πάσης οὖν παρρησίας πάντα τὰ κατὰ » σὲ σαφήνισον ἡμῖν.» ὁ Ἅγιος Ὀρέστης εἶπεν· «ἡ ἐμὴ παρρησία καὶ ἐλπὶς καὶ τὰ » ἄλλα πάντα τὰ κατ᾽ ἐμέ, ἅπερ αὐτὸς ἐπερωτᾷς, Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ » ζῶντος· ἀντὶ πάντων γάρ μοι μόνος αὐτός ἐστι καὶ πατρὶς καὶ τύχη καὶ σέβας καὶ ὄνομα· ἐν αὐτῷ οὖν παρρησιαζόμενος ἀνεπαισχύντως σὺν ἀληθείᾳ πάσῃ παρέστηκά σοι

σήμερον τὴν καλὴν ὁμολογίαν ἀναγγέλλων, ὅτι Χριστιανὸς ἀληθινὸς καὶ ἤμην ἀπὸ προγόνων καὶ μέχρι τοῦ παρόντος εἰμὶ καὶ ἕως αἰῶνος ἔσομαι».

§ 3 Ὁ ἡγεμὼν ἀπεκρίνατο· «ἐπειδὴ προπετείᾳ περισσῇ παρρησιασάμενος προέφθασας ἑαυτὸν ἀποκαλέσαι Χριστιανὸν καὶ Χριστὸν ὁμολογῆσαι μόνον Θεόν, ἐκ προοιμίων ἤδη τοῖς καταδικάζουσι νόμοις τοὺς ἀπειθεῖς ὑπεύθυνος γέγονας. Ἀνασφήλας οὖν ἐκ τῆς προσπεσούσης σοι ἀπειθείας καὶ τὸ συνοῖσον ἀναλογισάμενος, πειθήνιον ἀνελέσθαι θέλησον φρόνημα καὶ σέβας ὀφειλόμενον ἀπονεῖμαι τοῖς ἀθανάτοις θεοῖς, μήπως ἐπιμένων ἐπὶ πλέον τῇ ματαίᾳ πεισμονῇ ταύτῃ, διὰ πολυτρόπων κολαστηρίων κακηγκάκως τοῦ ζῆν ἀπαλλαγῇς». ὁ Ἅγιος Ὀρέστης εἶπεν· «ἐμοὶ καύχημα μέγα καὶ κλέος περίδοξον πέφυκεν ἡ παρρησία αὕτη τῆς ἐν Χριστῷ καλῆς ὁμολογίας, ἣν σὺ προπέτειαν ἀναιδῶς ἀπεκάλεσας· τῶν δὲ παρὰ σοῦ προσαγορευομένων θεῶν ἡ θυσία ὡς μίασμα καὶ βδέλυγμά μοι λογίζεται· θύειν γὰρ ἐγὼ ἐκ νεαρᾶς ἡλικίας μεμάθηκα Θεῷ τῷ ζῶντι θυσίαν καθαράν, τὴν λογικὴν λατρείαν ἐν πνεύματι συντετριμμένῳ καὶ τεταπεινωμένῃ καρδίᾳ· κιβδήλοις δὲ θεοῖς καὶ κωφοῖς ξοάνοις ὑπὸ χειρῶν ἀνθρώπων κατασκευασθεῖσιν οὐκ ἀνέξομαί ποτε θυσίαν προσενεγκεῖν ἢ προσκύνησιν ἀπονεῖμαι, περὶ ὧν ἐν ἡμετέραις ἱεραῖς Γραφαῖς γέγραπται· θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν ἐκ τῆς γῆς (Ἱερεμ. ι΄ 11).

§ 4 Ὁ ἡγεμὼν εἶπεν· «ὁρῶ σε τῇ μὲν ἡλικίᾳ κεκοσμημένον, τῇ δὲ τῆς ὥρας εὐπρεπείᾳ κεκαλλωπισμένον, λόγοις τε φρονήσεως σεσοφισμένον ἐν συνέσει καὶ τῇ τῆς ἰατρικῆς ἐμπειρίᾳ κατηρτισμένον καὶ διὰ ταῦτα φείδομαί σου κηδόμενος ὥσπερ ἰδίου τέκνου· ὀφείλεις οὖν καὶ αὐτὸς εὐσυνέτῳ τάξει καὶ ἀκολουθίᾳ χρώμενος πρὸς τὰ ἐπερωτώμενα ποιεῖσθαι καὶ τὴν ἀπόκρισιν, καὶ ὡς πατρὶ τέκνον τὴν προσήκουσαν αἰδῶ μοι προσνέμειν· φράσον οὖν ἡμῖν τὴν τοῦ σοῦ ὀνόματος προσηγορίαν, τήν τε τοῦ ἐπιτηδεύματος μέθοδον καὶ τὴν τῶν σῶν γεννητόρων θρησκείαν». ὁ Ἅγιος Ὀρέστης εἶπεν· «Ἐγὼ μὲν ἤδη δι' ὀλίγων ῥημάτων, ὦ δικαστά, τὴν ἀναγκαίαν πᾶσαν ἀπόκρισιν ἐποιησάμην πρὸς σέ· ἐπειδὴ δὲ μαθεῖν ἐπιζητεῖς ἔτι σαφέστερον τίς μὲν ἡ ἐμὴ προσηγορία καὶ ἐπιστήμη, τίς δὲ τῶν ἐμῶν γεννητόρων ἡ φρόνησις καὶ ἡ θρησκεία, καὶ περὶ τούτων αὖθις ἀπολογήσομαι, ὡς ἐκεῖνοι μὲν ἐκ προγόνων Χριστιανοὶ τυγχάνοντες καὶ τὰ Χριστιανῶν ὀρθῶς φρονοῦντες Χριστιανικῷ τρόπῳ καὶ βίῳ κἀμὲ παιδοτριβήσαντες παιδόθεν, Ὀρέστην προσωνόμασαν, ἀρεστὸν ὡς ἄν τις εἴπῃ παρωνύμως τιθέμενοι, ὡς ἂν διὰ μὲν τῆς θεόθεν δοθείσης μοι θεραπευτικῆς ἐπιστήμης ἀρρωστίαν πᾶσαν ἐξ ἀνθρώπων ἀρῶ, διὰ δὲ τῆς ἐπιχορηγουμένης μοι χάριτι θείᾳ συνέσεως ἀρέσαι σπουδάσω Θεῷ ζῶντι καὶ ἀληθινῷ, ἀνεξάρνητον τὴν ὁμολογίαν τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ μέχρι τέλους διατηρήσας· ὅπερ οὖν βούλει ποιεῖν κατ' ἐμοῦ τάχιον ποίησον· ἐγὼ γὰρ δοῦλος εἰμὶ τοῦ Δεσπότου μου Ἰησοῦ Χριστοῦ καὶ αὐτὸν μόνον ἐπίσταμαι Θεὸν ἀληθινὸν καὶ τὸν ὑπὲρ αὐτοῦ θάνατον πάσης ζωῆς καὶ τρυφῆς καὶ ἡδονῆς ἡδύτερον ἀποδέχομαι».

§ 5 Μάξιμος ἡγεμὼν εἶπεν· «ἀπονενοημένε καὶ πάντων ἀνθρώπων ἀθλιώτατε, πῶς οὕτω προπετῶς ἀποφθέγγῃ φρεναπατῶν σεαυτὸν ἐν τῷ κηρύττειν Θεὸν τὸν Χριστόν, ὃν Ἰουδαίων παῖδες ὡς κακοῦργον σταυρῷ κατεδίκασαν;» ὁ Ἅγιος Ὀρέστης εἶπεν· «εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ καὶ τὴν δύναμιν τοῦ σταυρωθέντος Χριστοῦ, κατέλειπες ἂν τὴν πολύθεον πλάνην καὶ σαθρὰν θρησκείαν τῶν εἰδώλων καὶ αὐτὸν μόνον προσεκύνεις τὸν ὄντως ὄντα Θεὸν ἐκ Θεοῦ ἀληθινοῦ, ἀόρατον ἐξ ἀοράτου, καὶ ἀΐδιον ἐξ ἀϊδίου, ὃς τῇ ἰδίᾳ ἀγαθότητι καὶ φιλανθρωπίᾳ χρώμενος τὴν ἡμετέραν φύσιν ἀφράστῳ τρόπῳ τῇ ἑαυτοῦ θεότητι ἥνωσεν, τῆς ἀπατηλῆς πλάνης ἐλευθερώσας τοῦ διαβόλου»· ὁ ἡγεμὼν εἶπεν· «ὁρᾷς εἰς ὅσον ἀλαζονείας ἤλασας θράσος ὥστε τολμῆσαι καταγοητεύειν τὰς ἐμὰς ἀκοὰς πολυπλόκοις ἀπάτης ἀποφθέγμασι τοῦ καταλιπεῖν με τοὺς ἀθανάτους θεοὺς καὶ προσελθεῖν τῷ ἐσταυρωμένῳ; ἀλλ' οὐκ ἐπιτεύξῃ τῆς δολιότητος ταύτης, οὐ γὰρ εὐριπίστῳ τινὶ καὶ κάρρῳ πρὸς ἐξαπάτην ἐνέτυχες· χαίρειν οὖν εἰπὼν πάσαις σου ταύταις ταῖς περιττολογίαις, θῦσον προσελθὼν τοῖς ἀθανάτοις θεοῖς, ὅπως τὸ πρόσταγμα τῶν κρατούντων πληρώσας τιμῆς μεγάλης ἀξιωθήσῃ συγκάθεδρος δεξιὸς ἐπὶ τῆς ἡμετέρας ἡγεμονίας γινόμενος». Ὁ Ἅγιος Ὀρέστης εἶπεν· «ἐγὼ δικαστὰ πολλάκις εἶπον, ἤδη καὶ νῦν λέγω, καὶ λέγων οὐδέποτε παύσομαι ὅτι περ τὸν ἐμὸν εὐεργέτην καὶ Δεσπότην ἐπιγινώσκω Χριστὸν μόνον ἀληθῆ Θεὸν καὶ αὐτῷ μόνῳ προσκυνῶ καὶ λατρεύω· δαιμονίοις δὲ καὶ ἰνδάλμασιν εἰδωλικοῖς μή μοι γένοιτό ποτε τοσοῦτον μανῆναι ὥστε λατρείαν προσενεγκεῖν ἢ προσκύνησιν».



§ 6 Ὁ δὲ πεπλανημένος ἡγεμὼν τοῖς παρεστῶσι τῆς ἀσεβείας ὑπηρέταις προσέταξεν εἰπών· «προσαγάγετέ μοι τοῦτον ἐν τῷ ναῷ τῶν θεῶν, πορευομένῳ, ὅπως ἰδὼν τὰ ἐν αὐτῷ κάλλη καὶ τὴν λαμπρότητα μετὰ τῆς πρεπούσης προθυμίας προσελθὼν θυσίαν προσενέγκῃ». ἦν δὲ ἅπας ὁ εἰδωλικὸς δόμος ἐκεῖνος ἰνδαλμάτων πολλῶν πεπληρωμένος χρυσῷ τε καὶ ἀργύρῳ περικεκοσμημένος· ἔνθα τοῦ μάρτυρος εἰσενεχθέντος, λέγει πρὸς αὐτὸν ὁ ἡγεμών· «θῦσον τοῖς μεγίστοις θεοῖς, Ὀρέστα, τοῖς τὴν οἰκουμένην κυβερνῶσιν». ὁ Ἅγιος Ὀρέστης εἶπεν· «πεπλάνησαι, ὦ ἡγεμών, εἰς ἀδόκιμον νοῦν ἐμπεσὼν ὥστε μὴ δύνασθαι κατανοεῖν τὸ συμφέρον καὶ διακρίνειν τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος· οὗτοι γάρ, ὡς ὁρᾷς, οὓς θεοὺς καλεῖν οὐκ αἰσχύνῃ ἀνδριάντας ἀψύχους πρὸς ἐξαπάτην τῶν ἀνοήτων ἀνθρώπων χερσὶ τεχνιτῶν κατεσκευασμένους, χαλκὸς μὲν καὶ ἄργυρος καὶ σίδηρός ἐστι τὸ βλεπόμενον, τὸ δὲ νοούμενον δαίμονες ἀλάστορες οἱ δι' αὐτῶν λατρευόμενοι· οἷς ὀφθαλμοὶ μὲν καὶ στόμα, χεῖρές τε καὶ πόδες μετὰ τῶν ἄλλων αἰσθητηρίων περίκεινται, οὐδεμία δὲ πρόσεστι τούτοις ἐνέργεια· πῶς γὰρ ἐξ ἀψύχων ὑλῶν συγκειμένοις, τοῖς μηδέποτε δεδεγμένοις δύναμιν αἰσθήσεως ζωτικῆς· πῶς δὲ καὶ κυβερνήτας οἰκουμένης ἀφρόνως ἀσεβῶν ἐπιγράφῃ τοὺς μὴ μόνον ἑτέροις ἀλλ' οὐδὲ ἑαυτοῖς ἐκεχειρίαν τινὰ παρασχεῖν ἐξισχύοντας, ἀλλὰ τοὐναντίον τῆς ὑμετέρας μᾶλλον ἐπικουρίας δεομένους;»

§ 7 Πρὸς ταῦτα διαπορούμενος ἀντειπεῖν ὁ ἡγεμὼν λέγει τῷ μάρτυρι «τὰς μὲν περιττὰς ταύτας ἀντιθέσεις καὶ συζητήσεις ἐπὶ τοῦ παρόντος καταλιπόντες ἄλλοις παραχωρήσωμεν, ἡμεῖς δὲ τῶν προσκειμένων ἀναγκαίων ὡς ἀπαραιτήτων ἔργων ἐχώμεθα· δύο τοιγαροῦν ἐνταὐτῷ προτεινομένων σοι σήμερον, τιμῆς καὶ ἀτιμίας, δωρεῶν καὶ κολαστηρίων καὶ τὸ τελευταῖον τούτων, ζωῆς καὶ θανάτου, ὡς νουνεχὴς καὶ φρόνιμος τὰ χαριέστερα καὶ γλυκύτερα μᾶλλον τῶν λυπηρῶν καὶ πικραινόντων προτιμῆσαι βουλήθητι, καὶ προσελθὼν προθύμως θῦσον τοῖς θεοῖς, μήπως ἀπαναινόμε-

νος τοῦτο πρᾶξαι πρόξενος σεαυτῷ γενήσῃ πολυτρόπων στρεβλωτηρίων καὶ βασανιστηρίων ἀνυποίστων, τῶν εἰς βίαιον θάνατον παραπεμπόντων.» ὁ Ἅγιος Ὀρέστης ἀπεκρίνατο· «ἔοικας ὦ ἡγεμὼν ὥσπερ ἄνανδρόν τινα καὶ δειλὸν καταπονεῖν με τούτοις τοῖς ῥήμασι· μὴ τοίνυν μελλήσῃς ἐπὶ πλεῖον ἀναβαλλόμενος, ἀλλὰ τὸ παριστάμενον τῷ σκοπῷ τῆς ματαίας βουλῆς σου πρᾶττε συντομώτερον, ὅπως γνῷς διὰ τῆς πείρας αὐτῆς τὴν δύναμιν τοῦ ἐνδυναμοῦντός με Δεσπότου μου Ἰησοῦ Χριστοῦ».

§ 8 Τότε δὴ θυμοῦ πολλοῦ πλησθεὶς ὁ ἡγεμὼν ῥοπάλοις τύπτεσθαι τὸν μάρτυρα προσέταξεν ἀπηνῶς τῶν δημίων ἐπιβοώντων· «μὴ μώραινε βλασφημῶν κατὰ τῶν ἀθανάτων θεῶν, ἀλλὰ πειθάρχει τοῖς προστάγμασι τῶν Αὐτοκρατόρων.» ἀνηλεῶς δὲ ῥαβδιζόμενος ὁ καρτερικὸς ἀδάμας ἐπὶ πολύ, τὸ ὄμμα διάρας πρὸς οὐρανὸν τὴν ἐκεῖθεν βοήθειαν μεγάλαις ἐπεκαλεῖτο κραυγαῖς, αἷς ὁ παράνομος ἡγεμὼν μαινόμενος σφοδρότερον προσέταττε τοῦτον ῥαβδίζεσθαι κατά τε τῶν νώτων καὶ τῆς κοιλίας καὶ παντὸς τοῦ σώματος, ἐν παραλλαγῇ πλειόνων κεντυριώνων ῥοπάλοις ἁδροῖς χρωμένων, μέχρις ἂν τῇ ἀλλεπαλλήλῳ ῥάβδων πυκνότητι καὶ καταφορᾷ τὰ σπλάγχνα αὐτοῦ διαρραγέντα πρὸς γῆν διεσκορπίζετο. Καὶ ἦν ἰδεῖν τὸν καρτερόψυχον ἐκεῖνον ἀδάμαντα τῆς ὑπομονῆς καθάπερ ἄψυχον ἀνδριάντα τὰς ἀνηκέστους αἰκίας ἐκείνας ὑπέχοντα καὶ ὥσπερ ἐν ἀλλοτρίῳ σώματι τὴν τιμωρίαν ὑπομένοντα.

§ 9 Μετὰ δὲ ταύτην τὴν μιαιφονίας ἀνάπλεων κόλασιν, ἀνεθῆναι τὸν ἀθλητὴν μικρὸν προστάξας ὁ μιαρὸς δικαστής, ἐπειρᾶτο πάλιν δολίοις λόγοις πρὸς ἄρνησιν ὁ ἀνόητος τὸν ἐχέφρονα προτρεπόμενος· ὁ δὲ πολὺς ἐν συνέσει καὶ σοφὸς ἐν φρονήσει τῇ παραινέσει τοῦ παροιμιαστοῦ πειθόμενος ***μὴ ἀποκρίνασθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ*** (Παροιμ. κς. 4) παρεγγυῶντος, οὐδεμίαν ἀπόκρισιν δέδωκε τῷ τυράννῳ, ὃς τῷ ἐμφύτῳ θυμῷ μανικώτερον ἀναφλεγείς, ἐκέλευσεν ὀβελίσκοις πεπυρακτωμένοις τὸν νῶτον αὐτοῦ καταφλεχθῆναι· καὶ ὄξει δριμυτάτῳ σὺν ἅλατι κεκραμένῳ τὰς καταφλεχθείσας σάρκας ἐπιρραίνεσθαι, τριχίνοις τε ῥάκεσι τὰς πληγὰς εὐτόνως ἀνατρίβεσθαι· ἐν ταύταις οὖν ταῖς πολυωδύνοις βασάνοις γενναίως ὁ γεννάδας ἐγκαρτερῶν ἦρε πρὸς τὸν οὐρανὸν τὰ ὄμματα καὶ προσηύξατο πρὸς Κύριον οὕτως εἰπών. «Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν ὁ τὴν σὴν δυναστείαν δείξας κατὰ τῶν ἀπειθησάντων τοῖς σοῖς προστάγμασι, καὶ τῶν μὲν Σοδομιτῶν τὰς πόλεις καταναλώσας πυρί, τῶν δὲ ἀγνωμόνων Ἰουδαίων τὰ κῶλα καταστρώσας ἐν τῇ ἐρήμῳ, ὁ τὴν σὴν κραταιὰν βοήθειαν ἐξαποστείλας ἐξ ὕψους ἁγίου σου καὶ σώσας τοὺς σοὺς θεράποντας ἐξ ἀναγκῶν καὶ κινδύνων, πυρός τε καὶ θηρίων ἀνημέρων, αὐτὸς καὶ νῦν Δέσποτα πρόσσχες εἰς τὴν ἀντίληψιν τοῦ δούλου σου καὶ ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν καὶ ἀπολέσθωσαν καὶ γνώτωσαν ὅτι Σὺ Κύριος μόνος ἐπὶ πᾶσαν τὴν γῆν (ψαλμ. πς' 17, πγ' 17, 18)». Μετὰ δὲ ταύτην τὴν προσευχὴν ἐνεφύσησεν εἰς τὰ πρόσωπα τῶν ἀκαθάρτων εἰδώλων καὶ παραχρῆμα πεσόντα συνετρίβησαν ὡσεὶ κονιορτὸς γενόμενα κατὰ τὸ γεγραμμένον, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς (ψαλμ. α' 4).

§ 10 Καὶ τούτου τοῦ μεγίστου θαύματος γεγενημένου, λέγει ὁ ἅγιος πρὸς τὸν ἀσύνετον ἡγεμόνα· «ποῦ ἐστιν ἡ δύναμις τῶν θεῶν σου δικαστά; βλέπεις πῶς οὐκ ἠδυνήθησαν βοηθῆσαι αὐτοῖς, ἀλλ' ἀθρόον ἄρδην ἐξηφανίσθησαν ἅπαντες;». ὁ δὲ τὸ ἀναιδὲς πρόσωπον ὑπὸ προφανοῦς αἰσχύνης ὅλως ἠλλοιωμένον ἐμφαίνων, ὡσεὶ κωφὸς οὐκ ἀκούων διέμεινεν ἀχανής· οὐ τοῦτο γὰρ γέγονε τὸ ξένον (καὶ) τεράστιον ἐπὶ τῇ τῶν ἀγαλμάτων συντριβῇ, ἀλλὰ καὶ ἕτερον παραδοξότερον ἐπισυμβέβηκεν· ἅμα



γὰρ τῷ ἐξελθεῖν τὸν ἀθλητὴν ἐκ τοῦ εἰδωλικοῦ σηκοῦ ἐκείνου, παραχρῆμα καταρραγὲν ἅπαν τὸ οἴκημα κατεπόθη καὶ γέγονεν εἰς ἐρήμωσιν ἐξάπινα· ὁ δὲ παράνομος ἡγεμὼν μὴ βουληθεὶς καταπλαγῆναι τὸ μέγεθος τῆς θείας δυνάμεως, ἀλλὰ τὴν ἐπὶ τὰ χείρω ἀλλοίωσιν ἀλλοιωθείς, λύττῃ χαλεπωτέρᾳ κατὰ τοῦ μάρτυρος ἐξεμαίνετο· τὸν καιρὸν δὲ τῆς τιμωρίας πρὸς τὸ μέλλον ταμιευσάμενος, προσέταξε τέως ἐν ἀσφαλεστέρᾳ φρουρᾷ παραφυλάττεσθαι τοῦτον, τροφῆς καὶ ποτοῦ παντελῶς παρορώμενον ἄγευστον· ἐφ' ὅλαις οὖν ἡμέραις ἑπτὰ φρουρούμενος ἄσιτος, ἐν ἀγαλλιάσει καρδίας διετέλει, δεήσεσιν ἀδιαλείπτοις καὶ προσευχαῖς προσκαρτερῶν, πίστει τε μόνῃ ζῶν καὶ ταῖς χρησταῖς ἐλπίσι τρεφόμενος κατὰ τὸ γεγραμμένον «ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται (Ρωμ. α. 17)». καὶ πάλιν «οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ» (Ματθ. δ. 4). Διὰ πάσης μέντοι νυκτὸς καὶ ἡμέρας οὐκ ἐνέλιπε τῷ τῶν ὅλων Σωτῆρι τὴν συνήθη δοξολογίαν προσάγων Χριστῷ εὐχαριστῶν μὲν ὑπὲρ ὧν ἤδη διετηρήθη, θείῳ σθένει δυναμωθείς, ἀνάλωτος ταῖς ἐπινοίαις πάσαις τῶν τυραννούντων ἐχθρῶν, ἐξαιτούμενος δὲ καὶ τὴν μέχρι τέλους ὑπομονὴν καὶ καρτερίαν ἀνένδοτον.

§ 11 Ὃν τῇ ὀγδόῃ ἡμέρᾳ προκαθίσας ἐπὶ τοῦ βήματος ὁ τῆς ἀσεβείας ἡγεμὼν καὶ παραστησάμενος ἔμπροσθεν αὐτοῦ, καταπληκτικῇ κραυγῇ χρησάμενος φησὶ πρὸς αὐτόν. «ἀνόητε πάντων ἀνθρώπων καὶ θεῶν ἐχθρὲ δυσμενέστατε, πῶς ἐτόλμησας κατ' αὐτῶν ἐξερεύξασθαι ῥήματα τοιαῦτα βλάσφημα τῇ προτεραίᾳ ἐπὶ τοῦ ναοῦ προκαθημένης τῆς ἐμῆς ἐξουσίας; ἢ πάντως εἰς ἀπόνοιαν ἐπήρθης ἀκάθεκτον βλέπων τὴν ἡμετέραν εὐμένειαν ἐπιεικῶς πρὸς σὲ διατεθειμένην; εἰ τοίνυν βούλει τὸ μέγα τοῦτο τόλμημα παρ' ἡμῶν συγχωρηθῆναί σοι, ὑπήκοος γενέσθαι θέλησον τοῖς βασιλικοῖς προστάγμασι καὶ τοῖς θεοῖς θυσίαν προσάγαγε· ἐπεὶ ἐὰν μὴ τοῦτο πρᾶξαι βουληθείης, χαλεπωτέρας τῶν προτέρων τιμωρίας ὑποστήσει κακηγκάκως βιαίῳ θανάτῳ τῆς ζωῆς ἀποστερούμενος.» ὁ Ἅγιος Ὀρέστης εἶπε· «μὴ ταῖς ποικίλαις ἀπειλαῖς καταπονεῖν με νόμιζε, δυσμενέστατε τύραννε, ἀλλὰ τὰ χαλεπά σου βασανιστήρια θᾶττον προσάγαγε καὶ πάντα τὰ τῆς μανίας σου βέλη κίνησον κατ' ἐμοῦ, πρὸς ἅπερ ἅπαντα ἀντικαταστῆναι στερρῶς ἕτοιμός εἰμι, ἔχων ἀεὶ μετ' ἐμοῦ τὸν ἐνισχύοντά με Χριστόν».

§ 12 Τούτοις τοῖς πεπαρρησιασμένοις ῥήμασι τὸν ἔμφυτον θυμὸν ἀναφλέξας ἀσχέτως ὁ μανικὸς δικαστὴς ἐκέλευσε τοῖς ὑπηρέταις ἥλους σιδηροῦς εὐμήκεις ἐνεχθῆναι καὶ τούτους ἐμπαγῆναι κατά τε τῶν πλευρῶν καὶ τῶν ποδῶν τοῦ μάρτυρος. Καὶ τούτου θᾶττον ἢ λόγος γεγενημένου, ἦν ἰδεῖν τοὺς πόδας αὐτοῦ ὡσεὶ κρηπῖδας στρατιωτικὰς πεπερονημένας πάντοθεν, ἐξ ὧν ῥύακες μὲν ποταμηδὸν ἀπέρρεον αἵματος, ὀδύναι δὲ δριμεῖαι μέχρι καρδίας αὐτῆς δικνούμεναι, τὸ καρτερικὸν σαρκίον συνέθλιβον, ἐν αἷς ἀριδήλως ἐδείκνυτο πᾶσι καὶ τὸ μεγαλόψυχον τοῦ καρτερόφρονος μάρτυρος καὶ τὸ τῆς ἄνωθεν προνοίας μεγαλοδύναμον· ἐν οἷς ἀπαγορεύσας ὁ τῆς κακίας εὑρετὴς τῆς οἰκείας προσδοκίας καὶ μανικώτερον ἢ μᾶλλον εἰπεῖν θηριωδέστερον διατεθείς, εἰς ἐπίνοιαν πικροτέρας τιμωρίας ἐκτρέπεται. Καὶ σκοπεῖτε τῆς ὠμότητος τὴν ὑπερβολὴν ὅση, καὶ τῆς βασάνου τὸ εἶδος ὡς καὶ μόνον ἀκουόμενον φρίκης ἔμπλεων. Ἵππου γὰρ ποσὶν ἀγρίου ὁ τὴν γνώμην καὶ θηρίου ἀγριώτερος, ἀλύσεσι σιδηραῖς συνδήσας ἐκ τῶν χειρῶν τὸν μάρτυρα, μετὰ σφοδροτάτης ταχύτητος ἐλαύνεσθαι τὸ ζῶον μάστιξι τυπτόμενον ὑπὸ στρατιωτῶν παρακελεύεται, ἐπὶ μήκιστον ἀφεστηκὸς τόπου διάστημα, σταδίους σχεδόν που ἑκατὸν ὀγδοήκοντα, ἀπὸ πόλεως Τυάνων μέχρι χώρου τινὸς ἐπιχωρίως καλουμένου Βάτου, ἔνθα συρμῷ βιαιοτάτῳ τῷ τοῦ ἀγριωτάτου ἵππου δρόμῳ παρουσιάσας εἰς χεῖρας Θεοῦ ζῶντος παρατίθησι τὸ **πνεῦμα.**

§ 13 Ὁ δὲ δύστροπος καὶ μανιώδης Μάξιμος μηδὲ μετὰ τὴν τελευτὴν τῆς ἀτόπου λύττης λήξας τῆς κατὰ τοῦ γενναιοτάτου μάρτυρος Ὀρέστου, προστάττει ῥιφῆναι τὸ πολύαθλον λείψανον αὐτοῦ ἐν τῷ βυθῷ Φίβου (sic) τοῦ παραρρέοντος ποταμοῦ κατάντικρὺ τοῦ ὄρους, ὅπερ ὑπὸ τῶν παρατυχόντων πιστῶν ἐθεάθη προφανῶς χερσὶν ἀνδρὸς λαμπροφοροῦντος ἀνακομιζόμενον ἐντίμως ἐκ τῶν ποταμίων ῥευμάτων καὶ κατατιθέμενον ἐν τῷ παρακειμένῳ ὄρει, τῇ τῶν Τυανέων Μητροπόλει, ἐν ᾧ τόπῳ παμπληθεῖς ἰάσεις ἐπιτελοῦνται μέχρι τῆς σήμερον ἡμέρας, οὐ μὴν ἀλλὰ καὶ μέχρι τῆς συντελείας τοῦ αἰῶνος οὐδέποτε τελούμεναι λήξουσιν· ἀψευδὴς γὰρ ὄντως ἐστὶν ὁ εἰπὼν ὅτι «*τοὺς δοξάζοντάς με δοξάσω*», οὓς ἀληθῶς δοξάζει καὶ μεγαλύνει Χριστὸς ἡ ἀλήθεια, ἐνταῦθα μὲν ἀμυδρότερον, εἰ καὶ μεγάλοις σημείοις τούτους λαμπρύνει καὶ τέρασιν, ἐκεῖθέν τε λαμπρότερόν τε καὶ ὑψηλότερον ἀναδείξειεν ὡς φαεινοὺς φωστῆρας ὑπὲρ τὸν ἥλιον λάμποντας· μεθ' ὧν καὶ ἡμεῖς ἀξιωθείημεν μετασχεῖν τῆς θείας ἐλλάμψεως λιταῖς αὐτῶν εὐπροσδέκτοις συγκροτούμενοι καὶ συμπαθείας τῶν ἐπταισμένων καταξιούμενοι ἐν Χριστῷ Ἰησοῦ

IC τῷ θέ- XC
λοντι
πάντας ἀνθρώπους σω-
θῆναι καὶ εἰς ἐπίγνω-
σιν ἐλ-
NI θεῖν ἀ- KA
ληθείας· ὅτι Αὐτῷ
ἡ δόξα καὶ τὸ κράτος
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



## Ἐπίσκοποι καὶ Μητροπολῖται ΤΥΑΝΩΝ ἢ Χριστουπόλεως*

**Τῷ 304 ἄθλησις τῶν Τυανέων Μαρτύρων ἁγίων Ἀγαθοδώρου (2 Φεβρουαρίου), Οὐάρου (19 Ὀκτωβρίου) καὶ ἰαματικοῦ Ὀρέστου (10 Νοεμβρίου).**

1. Εὐψύχιος, ἐκ τῶν Πατέρων τῆς ἐν Νικαίᾳ Α' Οἰκουμενικῆς Συνόδου, τῷ 325
2. Θεοφρόνιος, ἀρειανίζων, παραστὰς εἰς σύνοδον ἐν Ἀντιοχείᾳ, τῷ 341
   Τῷ 366 συνῆλθεν ἡ ἐν Τυάνοις Σύνοδος, ἐπὶ αὐτοκράτορος Οὐαλεντινιανοῦ Α'.
3. Ἄνθιμος, α' μητροπολίτης Τυάνων, ιδ' ἐν τῇ τάξει πρωτοκαθεδρίας (κατὰ τὴν Διατύπωσιν τοῦ αὐτοκράτορος Λέοντος ΣΤ' τοῦ Σοφοῦ), ὑπέρτιμος καὶ ἔξαρχος Β' Καππαδοκίας, ἔχων δ' ὑφ' ἑαυτὸν 3 ἐπισκοπάς· α') Κυβίστρων, β') Φαυστινουπόλεως, γ') Σασίμων, τῷ 372
4. Αἰθέριος, νεστοριατός, παραστὰς εἰς τὴν ἐν Ἐφέσῳ Β' Οἰκουμ. Σύνοδον, τῷ 381
5. Θεόδωρος Α' (ἢ Θεόδοτος), ὁ φίλος καὶ συμπολίτης Γρηγορίου τοῦ Θεολόγου, τῷ 404
6. Καλλιόπιος, μνημονευόμενος ἐν τοῖς ἱεροῖς Διπτύχοις.
7. Λογγῖνος, » » » » »
8. Θεόδωρος Β', » » » » »
9. Εὐθήριος, νεστοριανός, καθαιρεθεὶς ὑπὸ τῆς ἐν Κ]πόλει Γ' Οἰκουμενικῆς Συνόδου, τῷ 431
10. Ἀνώνυμος, μνημονευόμενος ἐν ΜΕ' ἐπιστολῇ Θεοδωρήτου (ὑπομνηστικῷ εἰς Ἀλέξανδρον τὸν Ἱεροσολυμίτην).
11. Πατρίκιος, παραστὰς εἰς Σύνοδον ἐν Κ]πόλει ὑπὸ Πατριάρχην Ἅγιον Φλαβιανὸν τῷ 448, καὶ μετὰ τοῦ στενογράφου του Παλλαδίου εἰς τὴν ἐν Χαλκηδόνι Δ' Οἰκουμεν. Σύνοδον, τῷ 451
12. Κῦρος, αἱρετικός, κατὰ τὰ τέλη τοῦ Ε' ἢ ἀρχὰς τοῦ ΣΤ' αἰῶνος, ἐπὶ αὐτοκράτορος Ἀναστασίου.
13. Κυριακός, παραστὰς εἰς Σύνοδον ἐν Κ]πόλει ὑπὸ Πατριάρχην Ἅγιον Ἰωάννην (Β', τὸν Καππαδόκην), τῷ 518
14. Παῦλος, παραστὰς εἰς Σύνοδον ἐν Κ]πόλει ὑπὸ Πατριάρχην Ἅγιον Μηνᾶν, τῷ 536
15. Εὐφρατᾶς, ἐκ τῶν Πατέρων τῆς ἐν Κ]πόλει Ε' Οἰκουμενικῆς Συνόδου, τῷ 553
16. Ἰουστῖνος, « « « « « ΣΤ' « « τῷ 681
17. Παφνούτιος, κατὰ τὸν Ζ' ἢ Η' αἰῶνα, μνημονευόμενος ἐν Διηγήσει εὑρέσεως κάρας ἁγίου Λογγίνου τοῦ Ἑκατοντάρχου.
18. Ἀνώνυμος, ἐκ τῶν Πατέρων τῆς ἐν Κ]πόλει Ζ' Οἰκουμενικῆς Συνόδου, τῷ 787
19. Λεόντιος, παραστὰς εἰς τὴν ἐν Κ]πόλει Μεγάλην Σύνοδον, ἐπὶ Πατριάρχου Ἱεροῦ Φωτίου (Α'), τῷ 879
20. Ἰωάννης, ὑπογράψας ἐν Κ]πόλει Τόμον Πατριάρχου Σισινίου Β', τῷ 997
21. Κωνσταντῖνος Α', παραστὰς εἰς Σύνοδον ἐν Κ]πόλει ἐπὶ Πατριάρχου Ἀλεξίου Στουδίτου καὶ συνυπογράψας δύο Ὑπομνήματα αὐτοῦ τῷ 1028
22. Ἀνώνυμος, Συνοδικὸς ἐν Κ]πόλει ἐπὶ Πατριάρχου Ἰωάννου Η' Ξιφιλίνου, τῷ 1069
23. Κωνσταντῖνος Β', Συνοδικὸς ἐν Κ]πόλει ἐπὶ αὐτοκράτορος Ἀλεξίου Α' Κομνηνοῦ καὶ Πατριάρχου Νικολάου Γ' Γραμματικοῦ, τῷ 1086
24. Ἰάκωβος, ὁ χειροτονήσας τοὺς ἐκ τῆς ἐνορίας Τυάνων δύο ψευδεπισκόπους, καθαιρεθέντας τῇ ὑπομνήσει τοῦ διαδόχου του Βασιλείου, τῷ 1143
25. Βασίλειος, ἐπὶ αὐτοκράτορος Μανουὴλ Κομνηνοῦ καὶ Πατριαρχῶν Μιχαὴλ Β' Κουρκούα τοῦ Ὀξείτου καὶ Κοσμᾶ Β' Ἀττικοῦ· παραστὰς εἰς Σύνοδον ἐν Κ]πόλει καθαιρέσασαν τὸν Πατριάρχην Κοσμᾶν, τῷ 1147
26. Μιχαήλ, ἐπὶ αὐτοκράτορος Ἀλεξίου Ἀγγέλου Κομνηνοῦ καὶ Πατριάρχου Γεωργίου Β' Ξιφιλίνου, τῷ 1197

* Ἴδε σελ. 7, σημ. 3.

Τῷ 1327 δι' Ἐκθέσεως τοῦ αὐτοκράτορος Ἀνδρονίκου Β' Παλαιολόγου, τοῦ Γέροντος, ἡ μητρόπολις Τυάνων κατήχθη εἰς ιζ' Θρόνον.

27. Ἀνώνυμος, Συνοδικὸς ἐν Κ]πόλει ἐπὶ Πατριάρχου Ἁγίου Καλλίστου Α', τῷ 1351

28. Ἀνώνυμος, Συνοδικὸς ἐν Κ]πόλει ἐπὶ Πατριάρχου Φιλοθέου, τῷ 1365

Τῷ 1367 Σύνοδος ἐν Κ]πόλει ὑπὸ Πατριάρχην Φιλόθεον ἐκχωρεῖ τὰ Τύανα τῷ Καισαρείας Μεθοδίῳ.

29. Ματθαῖος, ἀπὸ Φαυστινουπόλεως μετατίθεται εἰς Τύανα, τῷ 1369

Τῷ 1370 ὁ Πατριάρχης Φιλόθεος προτρέπεται τῷ Καισαρείας Ἀθανασίῳ ὡς ἂν εἴπερ χηρεύοι ἡ μητρόπολις Τυάνων ἱερουργῇ ἐν αὐτῇ καὶ χειροτονῇ, μέχρις οὗ γένηται ἐν ταύτῃ γνήσιος Ἀρχιερεύς.

30. Ἀνώνυμος, χειροτονηθεὶς ὑπὸ τοῦ λατινοφρονήσαντος Πατριάρχου Μητροφάνους Β', τοῦ ἀπὸ Κυζίκου, τῷ 1443

31. Μελέτιος (Λουκάκης), Ρόδιος, μητροπολίτης Χριστουπόλεως-Τυάνων, ὑπέρτιμος καὶ ἔξαρχος Δευτέρας Καππαδοκίας, τῷ 1928

Ἡ μητρόπολις Τυάνων, χηρεύουσα ἀπὸ πολλοῦ καὶ ὑπὸ τῆς τῶν ἀθέων ἀλλοφύλων ἐπιδρομῆς στενωθεῖσα καὶ ἐρημωθεῖσα κρίμασιν ἀρρήτοις Θεοῦ, (ὁπότε οἱ περισωθέντες Τυανεῖς καταφυγόντες κατ' ἀρχὰς εἰς Ἐμὲν (ἴδε σελ. 8, σημ. 4) μετῴκησαν πανοικεὶ εἰς ἀσφαλῆ καὶ τερπνοτάτην κλιτὺν τοῦ Ταύρου, ἔνθα σὺν τῷ χρόνῳ ἀπετέλεσαν πλουσίαν καὶ διάσημον κωμόπολιν καθαρῶς ἑλληνικὴν ἐκ 400 οἰκιῶν, ἣν ἐπίσης ἐκάλεσαν Τύανα) καὶ ἀμοιροῦσα γνησίου ἀρχιερέως, ἐξεχωρήθη τῷ Ἰκονίου, τῷ δὲ 1655 τῷ Πισιδείας δι' ἀποφάσεως τοῦ Πατριάρχου Ἰωαννικίου Β', εἶτα ὅμως ἐδόθη τῷ Ἰκονίου, φέροντι ἔκτοτε τὴν φήμην «Ἰκονίου καὶ Τυάνων, ὑπερτίμου καὶ ἐξάρχου πάσης Λυκαονίας καὶ Β' Καππαδοκίας», αὐξηθεῖσα καὶ πληθυνθεῖσα μέχρι τῆς ὑπὸ τῶν Τούρκων σφαγῆς τῷ 1920 τοῦ ὑστάτου μητροπολίτου Ἰκονίου καὶ Τυάνων κυροῦ Προκοπίου Λαζαρίδου, τοῦ Τυανέως, τοῦ ἀπὸ Δυρραχίου καὶ Φιλαδελφείας (εἰκών του ἐν «Πατρίδι» Ἀθηνῶν, 28. 12. 1920).

Αἱ ἀκόλουθοι Κοινότητες ἀπετέλουν τὴν μητρόπολιν Τυάνων καὶ Ἰκονίου, ἀνθοῦσαι καὶ εὐημεροῦσαι μέχρι τοῦ ἔτους 1924, ὁπότε ἐξερριζώθησαν.

1) Τύανα. 2) Σάζαλα. 3) Μάταλα. 4) Τελμησός. 5] Ἰλοσός. 6) Ἀραβάνιον. 7) Γόρτυς. 8) Φερτάκαινα. 9) Πόρος. 10) Καρυὰ (Καραδζᾶ-Ὀρέν). 11) Ἡράκλεια ἢ Κύβιστρα. 12) Τὰ Νικήτα (Νίκτε). 13) Κάδηνα (Καϊάμπασι). 14) Ἀνδάβαλις. 15) Οὐλαγάτς (Ἀντιβήτ). 16) Δράται (Κιτσαγάτς). 17) Σεμνὰ (Σεμέντερε). 18) Ἐγχύλιον. 19) Σαράβρακα (Τσαρηκλῆ). 20) Μίσθιον. 21) Λῆμνος. 22) Νάξος. 23) Τροχός. 24) Μαλακοπή. 25) Δῆλος. 26) Ἀνακώ. 27) Σύλατα ἢ Ζῆλα. 28) Φλογητά. 29) Σούβλαιον (Σιβρίχισσρ). 30) Κανόταλα. 31) Καρβάλη. 32) Ἀλαβάτειρα ἢ Νῶρα. 33) Περίστρεμμα. 34) Βαζεῖς (Τσελτέκ). 35) Ἀρχελαΐς (Ἀκσεράϊ). 36) Ἀραβισός. 37) Παρνασὸς (Κοτσχισάρ). 38) Ἀζιζιέ. 39) Φιλομήλιον (Ἀκσεχίρ). 40) Περματαΐα. 41) Τυριαῖον (Ἰλκίν). 42) Σύλλη. 43) Ἰκόνιον. 44) Παρλαΐς (Βεησεχίρ). 45) Δαλισανδὸς (Σεϊδισεχίρ) 46) Λεοντόπολις (Ἰσζκηρι). 47) Λάρανδα (Καραμάν).

καὶ ἓξ ὑπαγόμεναι ὑπὸ τὴν μητρόπολιν Χαλδείας·

48) Μεταλλεῖον Ταύρου (Μπογᾶ-Μαδέν). 49) Λεβαδεία (Ὀβαδζίκ). 50) Κουβούκλεια (Καβουκλοῦ). 51) Σάσιμα ἢ Σίαλα (Ἐμινδζίκ). 52) Ἀργυρία (Μπερεκετλῆ-Μαδέν). 53) Ὕδρα (Σουλουτζᾶ-Ὀβᾶ).

ΠΡΟΣΘΗΚΗ εἰς σελ. 11. σημ. 7.

Τὸν Ἅγιον Ὀρέστην τὸν Τυανέα παριστᾷ ἀνάγλυφον Σταυρὸς εὐλογίας ἐκ πύξου φέρων ἑτέρωθεν τὸν Ἐσταυρωμένον, ἔργον δὲ τοῦ ἀειμνήστου ἁγιορείτου γλύπτου Γρηγορίου Μοναχοῦ (Σταυρουδᾶ). τούτου θαυμάζονται σὺν ἄλλοις ἐγκόλπια ἀνάγλυφα μονόπλευρον μὲν παριστῶν τὸν ἅγιον Στέφανον, δίπλευρα δὲ παριστῶντα τὴν Ἁγίαν Αἰκατερίνην καὶ τὴν Παναγίαν τοῦ Ἀποστόλου Λουκᾶ· τὴν Φιλοξενίαν τοῦ Ἀβραὰμ καὶ Παναγίαν τὴν Γοργοεπήκοον· ἐν δὲ Βεϊμάρῃ τῆς Γερμανίας ἐν τῷ οἴκῳ τοῦ ἀειμνήστου Παύλου Μίτσκε, μέγα τοιοῦτο παριστῶν τοὺς Ἁγίους Παῦλον καὶ Νικόλαον.

«... καὶ ὅλη αὐτὴ ἡ ἱστορικὴ αἴγλη καὶ λαμπρότης 20 αἰώνων, ὁ πλοῦτος καὶ ἡ εὐημερία τῶν ἀείποτε καὶ πανταχοῦ ἐπὶ παντοίᾳ ἐθνικῇ καὶ κοινωνικῇ δράσει καὶ ἀρετῇ, ἐπὶ μορφώσει καὶ πολιτισμῷ καὶ φιλοπατρίᾳ διακριθέντων καὶ τιμωμένων Τυανέων, ἐπέπρωτο νὰ πληγῇ ὑπὸ ἐγκληματικῆς ἐφαρμογῆς ἐπαράτου ἐμπνεύσεως δόγματος ἀνταλλαγῆς πληθυσμῶν, δυνάμει δὲ τούτου νὰ δύσῃ εἰς ἁπλοῦν παρὰ τὸν σιδηροδρομικὸν σταθμὸν Δράμας συνοικισμόν, τὰ Νέα Τύανα, ὅπου οἱ περιλειπόμενοι Τυανεῖς πενθίμως μιμνήσκονται τῆς ὡραίας καὶ μαγευτικῆς πατρίδος των, ἀπὸ τὴν ὁποίαν ἀκουσίως τοὺς ἐξερρίζωσαν, καὶ τῶν πολυτίμων ἐκκλησιαστικῶν κειμηλίων των, ἅτινα μετ' ἀτρύτων κόπων καὶ πολλῆς δαπάνης περιέσωσαν, διὰ νὰ θέσῃ ἐπ' αὐτῶν ἅρπαγα χεῖρα κράτος ἑλληνικὸν καὶ καταστήσῃ ταῦτα λείαν Θεσσαλῶν...» (ἴδε σελ. 11).

---

# ΙΔΙΟΜΕΛΑ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΙΑΜΑΤΙΚΟΥ

# ΟΡΕΣΤΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ

ΜΟΥΣΟΥΡΓΗΘΕΝΤΑ ΥΠΟ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ ΑΥΤΗΣ

Π. ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΑΥΡΙΩΤΟΥ

**Δοξαστικὸν τῶν Στιχηρῶν τοῦ Ἑσπερινοῦ. – Ἦχος** λ̣ πα Νη (ἴδε σελ. 14)



ον πρε σβε ευ τη ης ε τοι μο ο ο ο τα α α α τος δι ο μαρ τυ υ

ρων καλ λο ο ο νη η η Ο ρε στα πα α να οι οι οι δι ι ι ι με ε

αι αι αι αι αι τη η η η σαι η η μι ι ιν πα ρα Χρι στου ου

ου ου του ου Θε ε ε ου το με ε γα ε ε ε ε ε ε

λε ε ος

**Δοξαστικὸν τῶν Ἀποστίχων τοῦ Ἑσπερινοῦ.—Ἦχος Δι (ἴδε σελ. 16)**

Των Τυ α α νε ων τον λα αμ προ ο ον πο ο ο ολι ι ου ου ου

χον και της πι στε ως θαυ μα α α α σι ον σε ε ε ε μνω ω ω μα

τον του Χρι ι στου γεν ναι ο ο ον στρα α α τι ω ω την Ο ο ρε ε ε

στη ην τον ύ πε ε ε ερ λα α αμ προν πνευ μα τι κοις α αν

θε σιν ε πα ξι ως στε ε φα νω ω ω σω ω ω μεν ου τος γαρ

ην δρι ι σα το κα τα του α ο ρα του ε χθρου και παρ ρη σι ι ι

ι ι ι ι α πολ λη η η η η η η η η η η του ου ου το

ο ο ον κα τη η η η η σχυ υ υ νε και νυν εν δο ο ξη πα

α α ρι στα α α με ε ε νος Χρι στω ω ω ω τω ω ω ω ω ω ω

ω ω ω Χρι στω ω ω τω ω Θε ε ω ω αι τει ται η η η μι ι ιν ει

ρη η νην και το με ε γα α ε ε ε λε ε ε ε ος

**Ἰδιόμελον τοῦ Ὄρθρου μετὰ τὸν Ν΄ Ψαλμόν.—Ἦχος Δι (ἴδε σελ. 19)**

Α γι ω συ υ νην ε νε ε δυ υ υ σω Ο ρε ε ε ε στα Α οι οι οι

δι ι ι με των α θλη τω ων συν ο ο ο μι λε και αγ γε ε ε ε

λων ο μο ο ο ο σκη η η νε των πι στων το στη η ρι ιγ μα α

Εκ κλη σι ι ι ας α α γαλ λι ι ι ι α α α μα πα ρι στα με

νος τω θρο νω Χρι στου ου ου του παν τα α α α να α α ακ τος αι αι αι

τη σαι η μι ιν τοις τε λου ου ου σι την μνη η η η η η μη ην σου

ι λα σμον α α μαρ τι ω ω ω ω ω ω ων και το με ε γα ε ε ε

λε ε ε ε ο ο ο ος

**Δοξαστικὸν τῶν Αἴνων τοῦ Ὄρθρου.—Ἦχος Πα (ἴδε σελ. 24)**

Δε ε ευ τε ε φι λο μαρ τυ ρων το συ υ υ στη η η μα

δευ τε και χο ρει α αν στη η σω ω με ε ε θα δε ε ευ τε κα

τα στε ψω μεν α α σμα σι την Εκ κλη σι ι ι αν ε πι τη μνη η

μη του μα αρ τυ ρο ο ο ο ος Ο ο ο ρε ε ε ε ε ε ε ε ε λε ε

ε ε στου ου το ος γαρ ο του ε που ρα νι ου βα α σι ι λε ε ως γε εν

ναι αι ος στρα α τι ω ω ω της κα λως α γω νι σα α με ε ε

νος κα τα του αν τι πα α α λου τα του του ει ει δω ω ω λα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΗΝΤΟΡΗΣ ΠΑΠΑΝΤ...

Δυ να α μει α ο ρα α α α α α α α α γα α α α τω εις
χουν ε λε πτυ υ νε κα τα το γε γραμ με ε ε ε ε νον
ον εκ ρι ι πτει ει ο ο ο α α νε ε μος α απο ο προ ο σω ω
ω ω που ου τη η ης γης προς αυ το ον ουν βο ο η η η η σω ω
ω μεν Ο ρε ε στα α μα αρ τυ υς ε ε εν δο ο ο ο ξε πρε ε σβε ευ
ε Χρι στω ω ω ω τω ω Θε ε ω ω λυ υ υ τρω ω θη η η η
ναι κιν δυ υ υ υ νων ψυ υ χη ης τε ε ε και σω ω ω ω μα α
α τος τους φαι δρως ε ε ο ορ τα α α ζω ο ο ο ον τας την σε βα α
σμι α αν σου α α α α θλη σι ι ι ι ιν



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡ ΠΑΠΑΣΤΡΑΤΟΥ